ΝΙΚΗΦΟΡΟΥ ΚΑΛΛΙΣΤΟΥ

ΤΟΥ

ΞΑΝΘΟΠΟΥΛΟΥ.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ
ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

ΝΙΚΗΦΟΡΟΥ
ΚΑΛΛΙΣΤΟΥ
ΤΟΥ ΞΑΝΘΟΠΟΥΛΟΥ

ΠΕΡΙ ΣΥΣΤΑΣΕΩΣ ΤΟΥ ΣΕΒΑΣΜΙΟΥ ΟΙΚΟΥ ΤΗΣ ΕΝ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΙ ΖΩΟΔΟΧΟΥ ΠΗΓΗΣ, ΚΑΙ ΤΩΝ ΕΝ ΑΥΤΩ ΥΠΕΡΦΥΩΣ ΤΕΛΕΣΘΕΝΤΩΝ ΘΑΥΜΑΤΩΝ.

ΚΑΙ

Ο ΒΙΟΣ ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ

ΚΛΗΜΕΝΤΟΣ

ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΒΟΥΛΓΑΡΩΝ, ΣΥΓΓΡΑΦΕΙΣ ΠΑΡΑ ΤΟΥ ΑΓΙΩΤΑΤΟΥ ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΤΗΣ ΠΡΩΤΗΣ ΙΟΥΣΤΙΝΙΑΝΗΣ ΚΥΡΙΟΥ ΘΕΟΦΥΛΑΚΤΟΥ.

ΝΥΝ
ΠΡΩΤΟΝ ΤΥΠΟΙΣ ΕΚΔΟΘΕΝΤΑ.
ΕΠΙΣΤΑΣΙΑ

ΑΜΒΡΟΣΙΟΥ ΙΕΡΟΜΟΝΑΧ. τῆ ΠΑΜΠΕΡΕΩΣ.

ΕΘΝΙΚΟΝ ΙΔΡΥΜΑ ΒΙΒΛΙΟΘΗΚΗ ΒΟΥΛΗΣ ΝΟΜΟΘΕΤΙΚΗ ΚΑΙ ΕΘΝΙΚΗ ΑΝΤΙΠΡΟΣΩΠΕΙΑ

α ω β'.

Νικηφόρος κάλλιστος ὁ Ξανθόπουλος ἱστορίαν ἐκκλησιαστικὴν, ἐκ τῶ Εὐσεβίου, Σωκράτους, Σωζομένου, καὶ ἄλλων συνετάξατο εἰς εἴκοσι τρία βιβλία, ἐξ ὧν δέκα καὶ ὀκτὼ μόνον σώζονται, τυπωθέντα ἐν ἔτει 1553 ἐν παρισίοις, ὡς ἐκ τῦ προοιμίου τῆς αὐτῦ ἱστορίας δηλῦται, ἀρχόμενος ἀπὸ τῆς χριστῦ γεννήσεως, καὶ διηγέμενος τὰ μέχρι τῆς τῦ Φωκᾶ καταστροφῆς. ὁμοίως καὶ ἄλλα τινὰ λυσιτελῆ, καὶ ὠφέλημα ὑπομνήματα τῇ ἐκκλησίᾳ κατέλιπε.

Μελέτιος ἀθηνῶν ἐκκλησιαστικῇ ἱστορίᾳ τόμῳ Γ'.

Λόγος διαλαμβάνων τὰ περὶ τῆς συστάσεως τῦ σεβασμίου οἴκου τῆς ὑπεραγίας Δεσποίνης ἡμῶν Θεοτόκου τῆς ἀειζώου πηγῆς· ἔτι δὲ καὶ, περὶ τῶν ἐν αὐτῷ τελεσθέντων ὑπερφυῶς θαυμάτων κατὰ μέρος διήγησιν, ἀφ' ἧ συνέσχη μέχρι τῆς σήμερον. συγγραφεὶς παρὰ Νικηφόρου Καλλίστου τῦ Ξανθοπέλου.

Εἶτα, πηγῆς μὲν ἡδύτι, καὶ ψυχρὸν πιεῖν προβαλλομένης τὸ ῥεῖθρον, ἐκ ἄντις ἔλοιτ' ἀποκέσθαι ὑφ' ἡλίῳ καὶ ταῦτα φλέγοντι τὴν ὁδὸν διανύων· ἀλλ' ἐθελήσει δὴ πάντως καὶ παρ' αὐτὴν ἐφιζῆσαι, καὶ πρὸς κόρον ἐμφορηθῆναι τῦ ῥεύματος, καὶ ἀδεῶς τῷ ὕδατι χρήσασθαι, ἀναψύξαι τε τὴν ὄψιν, καὶ τὸν ἐκ τῆς ὁδῦ κάματον ἐπαφεῖναι τῷ ῥείθρῳ, νεαρός τε αὖ, καὶ εὔζωνος ἐκεῖθεν ἀναχωρῆσαι· ἴσως δὲ καὶ παρὰ τὸ καλὸν τῆς πόας ἀνακλιθῆναι, καὶ ταῖς αὔραις, εἴπε προσβάλλοιεν ἐκπετάσαι τὸ πρόσωπον. καὶ ταῦτα τῦτ' αὐτὸ ῥεύματος ἄλλως ὄντος καὶ διαῤῥέοντος. ἡμεῖς δὲ ὅτως ἀποσαίημεν τῆς ζωηφόρου, καὶ ἀρανίου πηγῆς, ἣν ἐκ ὄμβροι, καὶ χείμαῤῥοι, καὶ ὑπόγειοι σήραγγες σχεδιάζουσιν, ἀλλ' ἡ

ἐκ τῶν ἄνω ἡσυχῇ καταῤῥυεῖσα ϛαγών, τὸ ζῶν ὄντως καὶ ἀλλόμενον ὕδωρ, κατὰ πελάγη τὸ ῥεῖθρον αὐτῇ δαψιλὲς ἐπαφίησιν· ἡ δ' ὑπὲρ ὠκεανὸς ὅλος τῷ μεγέθει τῶν ἔργων κυκλοῖ τὸ περίγειον, ἀλλ' ἀχὶ τὰ εἰκότα καὶ ἡμεῖς αὐτῇ προσλαλήσομεν· καὶ ταῦτ' εἴπερ ποτε, κἂν τοῖς καθ' ἡμᾶς χρόνοις ἀναῤῥεύσῃ τὰ θαύματα, δ' δαψιλέστερον ἀνασκιρτώσῃ τὸ ῥεῖθρον, ἀκ ἄρα δόξομεν εὖ τὸ δέον διαγινώσκειν, δ' τὴν εὐεργέτιν κατ' ἰσχύν γε ἀμείβεσθαι, ἀπειροκαλίᾳ δὲ τῶν προσηκόντων ἀπαξιοῦν ἑαυτὸς, καὶ τῶν οἰκείων ὄντως σπεύδειν ἀλλοτριᾶν. ἀλλ' ἔλαθον τὸ τᾶ λόγω ἀνίπτοις χερσὶ, τῇ καθαρᾷ, δ' διαυγεστάτῃ πηγῇ προσβαλὼν, καὶ δέος ὑφέρπει τὸν λογισμὸν, μή με πῦρ αὐτίκα ποθεν τῶν ῥείθρων ἀναθορὸν καταφλέξειε, δ' τὸ καινὸν τῆς τόλμης ἐλέγξειε παράδοξος βάσανος· καί μοι τρόπον ἕτερον περισαίη τὸ εἰρημένον, ἄνθρακας εὑρηκέναι τὸν θησαυρὸν τῆς πηγῆς. σὺδ' ἀλλὰ τὸν ἐμπεφυκότα ῥῦπον ἐκπλύνασα δέσποινα, καὶ τὰς ἐν ἐμοὶ πλημμύρας τῶν αἰσχρῶν ἔργων ἀναξηράνασα τῇ σῇ δυνασείᾳ τῆς χάριτος, τόν τε ἄνικμον νεῦν ταῖς ἀρδείαις τῶν σῶν χαρίτων διϋδατίσασα, δίδα τὰ σὰ πελάγη πᾶσι μετοχετεύειν, δ' διψῶσιν ὡσὶν ἐπιῤῥέειν· σᾶ γὰρ ὡς ἐπ' ἀσφαλὲς τῆς ἀγκύρας ἐξηρτημένος, τῷ ἀχανεῖ τῶν τερασείων πελάγει κατατολμῶ. τοιγαρᾶν δ' πρόσηδι τᾶ λόγω τὸν κυβερνήτην λόγον ἐμοὶ ἐπισήσασα, ὡς ἂν ναυαγίας ἐκτὸς, δ' κινδύνων ἀλλότριος τῷ σῷ λιμένι ἐλλιμενίσαιμι. πῶς γὰρ ἂν ἐς τοσᾶτον τόλμης ἐλάσαιμι τῆς σῆς ἐπικῳρίας ἐκτὸς, τοσᾶτον ἔργον διενεγκεῖν· κυάθῳ γὰρ ἂν τῳ γένοιτο τὸ πολὺ, καὶ ἄπειρον ἀναμετρήσασθαι πέλαγος, δ' ὑπ' ἀριθμὸν αἱ ϛαγόνες τᾶ ὑετᾶ γένοιντο, ψάμμος τε ἂν μετρωμένη ἀνάρχοιτο, δ' ὑπείξαι τῷ ἀριθμῷ, ἢ τοῖς σοῖς ἅπασι μέτρον ἐπισῆσαι ἰσχύσει τις. θᾶττον γὰρ ἐκλεγομέ-

γομένῳ τὰ σὰ, δ' πρὸς ἔνδειξιν τάτων ἕκαστον ἀποσωματίσαι προθυμωμένῳ ὁ αἰὼν αὐτὸν ἐπιλίποι, δ' εἰ σφόδρα πολὺς αὐτῷ ἐπιῤῥεύσειε, τόσον ὑπερβαίνει τὰ σὰ δ' ὑπέρκειται, ὠμόνον ἡμᾶς, ὃς ἀπόῤῥοιάτις συνίσησι, δ' βραχεῖα θεότητος ἀπορῥώξ, ἀλλὰ δ' ὃς ἡπρώτη, δ' μακρὰ τὰ φωτὸς ἐκείνα καταρδεύει ἀπόῤῥοια, τὰς ἀγγελικὰς λέγω πλημμύρας καὶ ὠρανίας, ὧν ἁπάντων ἀσυγκρίτως ὑπέρκεισαι· ὅπαγε δ' χρόνα τις βραχυτάτα χάριτας ἐκλεγόμενος, ναρκήσει δὴ πάντως, δ' ἀπαγορεύσας τὸ μέγεθος ἀνακηρύξει τῇ σιωπῇ· ἡμὴν, ἀλλ' ἡμῖν γε ὅσον ἐκ πελάγους ἀπολεξαμένοις ϛαγόνα ὁ λόγος ἐκδιηγήσαιτο· ὠγὰρ τῇ φύσει τᾶτ' ἐφικτὸν φανείη, ἅπασιν ἐπισῆναι τοῖς σοῖς, δ' ἀποχρῆναι λόγω δύναμιν ἐπαρκέσαι, μὴ ὅτι τοῖς πᾶσιν, ἀλλ' ὠδὲ πλείοσιν· ἀλλὰ τὸ τᾶ λόγω ῥεῦμα, πρὸς ἀνάῤῥων μοιχωρητέον, δ' τὰ τῆς σῆς πηγῆς τὸ κατ' ἀρχὰς, ὅπως τε δ' ὅθεν συνέσῃ διαληπτέον, ὡς ἂν καθ' ὁδὸν προϊὼν ὁ λόγος, δ' ἅπερ τᾶ καθ' ἡμᾶς χρόνῳ παράδοξα διετέλεσας ἄρισα ἐπεξέλθοι καὶ διηγήσαιτο. δ' δὴ λύω τὸν λόγον τῷ ὁρίῳ τῆς σῆς χάριτος πνεύματι ἐπαφείς. ἀλλὰ βαβαὶ πέλαγος ἕτερον ἡμῖν ὑπαντᾷ. δότε γάρ μοι μικρὸν ἐμφιλοχωρῆσαι τοῖς τῆς πόλεως προτερήμασιν, ἣν ὠ μᾶλλον τ' ἄλλα ἔχει κοσμεῖν πόλιν γε ὅσαν θεᾶ, ἢ τὰ ἐντεῦνθεν ἀφθόνως πηγάζοντα, οἷάτινα ὁρμήματα ποταμᾶ· ἀρκτέον δὲ ἄτω. Τὶς ἂκ οἶδε τὸν τῆς οἰκουμένης ὀφθαλμὸν, τὴν Κωνσταντίνα φημὶ, τὸν ὀμφαλὸν τῆς γῆς, ἢ μᾶλλον εἰπεῖν τὴν καρδίαν ταύτης, τὸ καιριώτατον; ποιητὴς δ' ἂν εἶπε τὸ τῆς ἀρούρης ὄθαρ, τὸν κοινὸν ἑώας, δ' ἑσπερίᾳ λήξεως σύνδεσμον, ἢ χεδὸν ἑρίζει μὲν περὶ κάλλους τῷ ὠρανῷ, ἀμιλλώμενά δ' ἐσιν ἐν ταὐτὰ μόνον βλέπειν κάλλος, ἅμα καὶ μέγεθος· ἐφ' ᾗ συῤῥεῖ μὲν τὰ τῶν ἄκρων ὅσα χρηστά. αὐτὴ δὲ πάλιν ὡς ἀπο-

Ἔπαινος τῆς πόλεως.

ἀπὸ κέντρου, ἥτινος καρδίας ἁπανταχῆ δίεισιν, ὅσα καὶ μήτηρ ταῖς ὑπ' αὐτὴν ἐπιχορηγοῦσα· ἡδέσεως μὲν ὅτως ἔλαχεν εὐφυῶς, καὶ τῆς γῆς ἐπικαίρως ἵδρυται, ὡς εὐθὺς ἄντις ἰδὼν ἐρεῖ, ὡς ἄρ' ἄξιον εἶναι καὶ τὴν πάντων ἀρχὴν ἀναζώσασθαι, καὶ τὸ κράτος κατὰ πάσης ἔχειν προσῆκον, καὶ ὡς ἴδιον τὸ τῆς ἀρχῆς προσκληρώσασθαι. τέτραπται μὲν γὰρ εὐθὺς πρὸς ἀνίσχοντα ἥλιον, προσαπαντῶσα δήθεν αὐτῷ· καὶ προμήκης ἐξ ἠπείρου προθέει, τῷ πελάγει συμμιγνυμένη, τὸ φιλάνθρωπον ὡσανεὶ ἐπιδεικνυμένη καὶ χεῖρα ὥσπερ τοῖς καταίρειν πρὸς αὐτὴν βουλομένοις ὀρέγουσα, καὶ τοῖς κάλλεσιν αὐτὸς ἑσιῶσα, ὅσα ὁρᾶν ἐστι, λιμένας τε καὶ ἀκτὰς ἐπὶ κύκλῳ πᾶσαν ἑαυτὴν περιβάλλει. ἐν ἀφθόνῳ δὴ τῇ θαλάττῃ κειμένη, ὡς ἐπίσης εἶναι δόξαι καὶ νῆσον καὶ ἤπειρον· νῆσοι δὲ αὐτὴν ὑπεξίσανται, καθάπερ δᾶλαι τῆ σύνεγγυς εἶναι, βραχύτι ἀναχωρῆσαι, καὶ τὰ παρ' ἑαυτῶν ἠρέμα εἰσφέρεσαι. κἀνταῦθα γῇ θάλασσα, καὶ πελάγη δή τινα διὰ σενῆ πρὸς αὐτὴν ξυνθλιβόμενα, τὴν καλὴν ἅμιλλαν ἁμιλλῶνται, ποτέρας μᾶλλον ἡπόλις εἴη, καὶ αὖθις ἑτέραν, ποί ἄποτε πλείω τῶν παρ' ἑαυτῇ χρησῶν, τῇ βασιλίδι ὥσπερ δωροφορήσειεν. ἀξρῶς δ' ἂν αὖτη τῶν ἐν τούτοις καλῶν ἀπολαύουσα, ὅσα πρόσεσι, φεύγει τῶν λυπηρῶν. ὅτω δ' ἔλαχεν ἀέρος ἐν καλῷ κεῖσθαι, καὶ τοσαύτην ἔσι συμμετρίαν τῷ ὑπὲρ κεφαλῆς ἀέρι ταύτης εὑρεῖν, ὡς κεκρᾶσθαι μὲν ἄριστα, ἐμπνεῖσθαι δὲ ἥδιστα, καὶ τῶν περὶ γῆν ἀέρων τοσοῦτον ὑπερτερεῖ, ὡς ἀφέσηκε γῆς τῇ φύσει. τῷ γεμὴν αἰθέρι, μὴ παντάπασιν ἐοικέναι, καὶ τοῦ πολλῷ τοσοῦτόν ἐστιν ἐξαίρετος ὑπερέχων, ὡς ἐπιεικῶς συμβαίνει τοῦτο πάντας ἡττᾶσθαι. Τὶς δ' ἂν πεδίων, καὶ ὀρέων χάριτας αὐτῆς καταλέγοι, ἢ ποταμῶν χύσεις ἀερίων, καὶ ὑπογείων, καὶ ὑδάτων ἄφθονα ῥεύματα τὸ, τε πρὸς ἁπάσας, καὶ παντοίας ἐρρῶσθαι γονὰς, καὶ τὸ

καὶ τὸ μή τε ὄρειον εἶναι παντάπασι, καὶ τὸ ὕπτιον ἐπίπαν ἐκτρέπεσθαι, καὶ πρὸς ἅπασαν τὴ κόσμῳ φύσιν συχνματίζεσθαι; τὶ μὴ τὰ κρείττω λέγω, ὅτι καὶ λόγων ἔδαφος ταύτην ἔξεσι προσειπεῖν, καὶ προσήκειν γε τῶν ἀρίστων εἶναι ταύτῃ πατρίδι τε, καὶ καθηγεμόνι σοφίας ἁπάσης, καὶ τέχνης, καὶ γὰρ σοφίαν, καὶ τῶν ὄντων τὴν γνῶσιν, ἐντεῦθεν ἐξι πορίσασθαι, οἷς θεὸν διαγέγονεν εὐφημοῦσα· ὡς ἐντεῦθεν μὲν προχεῖσθαι τὸ εὐσεβεῖν, καὶ τ' ἄλλα τῶν ἀγαθῶν ἀναβλύζειν· καὶ εἴ τις φαίη ταύτην εἶναι καὶ τῶν ὁπωδήποτε γῆς ἀγαθῶν χορηγὸν, οὐκ ἂν αἰσχυνθείη. δείκνυται δὲ οἷς ἀνῆκε μὲν ναῶν τεμένη καὶ χάριτας, καὶ τ' ἄλλα τῶν οἰκοδομημάτων εἰς κάλλος, καὶ μέγεθος ἀξρῶς ἐξησκημένα, καὶ περιττῶς, φαιδρὰ φαιδρῶς ἁπανταχῆ ταῖς ὄψεσιν ἀπαντῶντα καὶ συναντίχοντα. Οἷς δὲ καὶ τὸν μέγαν τοῦτον ἀνέσησε δόμον, τὸν τῆς οἰκείας τῷ ὄντι σοφίας ἐπώνυμον, τὸν μάλα οἰκεῖον τῇ πόλει κόσμον, καὶ τῇ παρέσῃ ἐξουσίᾳ καὶ διαίτῃ προσήκοντα· μέγισός τε γὰρ ἐσι καὶ κάλλισος τῶν ἁπανταχῆ, ὄγκῳ καὶ τρυφῇ, ἔτι δὲ λελογισμένῃ σεμνότητι, κατὰ κράτος πάντας νικῶν. μέγας δὲ μεγαλωσὶ ἀνατεταμένος ἐκ τρέχει, ἔρωτι ὡς εἰκάσαι, τῆ καταζέρῳ συμμιγῆναι τῷ πόλῳ, κἀντεῦθεν δεικνύων, ὡς ἔργον ὄντως τῆ κρείττονος· φιλονεικεῖ καὶ γὰρ πρὸς τὰς ὄψεις τῷ ὕψει, καὶ φεύγει ὥσπερ τὸν θεατὴν, ἐρωτικῆ δίκην, τῷ μεγέθει ἀποκρυπτόμενος, καὶ μιμεῖται τὴν φύσιν, ἣ τῇ κλήσει σεμνύνεται, ὑποχωρῶν ἀεὶ τοσοῦτον, ὅσον καταλαμβάνεται, ἁ ῥαδίως τε ἀναχωρεῖν, ἀλλὰ μετὰ βίας, τὸν ἅπαξ ἁλωκότα ἐῶν. ἀλλ' ἁδ' ἐμφιλοχωρεῖν ἐς πλείσον, τῇ πολλῇ ῥαιδώνῃ παρέχων. ἀγχίσροφος δ' ἐφ' ἕκασον ἡ τῆς θέας μεταβολὴ, τὸ νικῶν εὑρεῖν ἁδαμῇ ἔχουσα· τοσοῦτον καὶ γὰρ ἔργον ἐγείγερται, ὅσον ἐνθυμηθῆναι τὸν μήπω θεώμενον μανίας

Ἔπαινος τῆς ἁγίας σοφίας.

ἔργον

ἔργον εἶναι νομίσαι· ἰδόντα δὲ, φάναι, κρεῖττον πάντως ἢ κατὰ ἄνθρωπον· δηλοῖτε ὁρώμενος, ἧς τινος δὴ πόλεως ϗ ψηφίζεται, μὴ ἂν ἄλλης πόλεως τὸ ἀνάθεμα εἶναι· ἀ-δὲ γὰρ ἂν ἀρκέσαι τὴν φύσιν ἁπάσας τοσοῦτον ἔργον ἐνσήσασθαι, καίμοι δοκεῖν, εἶπε ποιηταῖς ἦν ἐντυχεῖν, τ' ἄλλα παρεῖσι μυθολογήματα, ἐνταῦθ' ἀψευδεῖν, ὡς ἀτεχνῶς τῶν κρειττόνων ὄντως ἔργον καὶ φιλοτίμημα. ἐγὼ δ' ἂν ῥᾳδίως εἰπεῖν δοκῶμοι, ὡς τριάδος ἔργον τῆς ἀνωτάτω τὸ φιλοτέχνημα, ἵνα κἂν γῇ μετρίαν ἔχηδιατριβήν, δεῆσαν ἴσως καὶ πρὸς ἡμᾶς ἐπιμίγνυσθαι. πλὴν τοσοῦτος ὤν, καλλίων ἐστὶν ἢ μείζων, τῷ ἐφ' ἅπασι κοσμίῳ τὸ ἀπέριττον ἐνδεικνύμενος· ϗ οὐχ ἧττον δὲ ϗ τὴν πόλιν, ἐκ πολλῶν τοῖς καταίρουσι καὶ πόρρωθεν ἥκουσι προδεικνὺς, ἀντὶ πυρσῶν ἀρκῶν ϗ ὀρέων, ἢ ραιῶνή ϗ τρυφῇ τῇ ἄλλῃ ἔνδον, οἷς ϗ λόγῳ κρεῖττον ὡς ἐρεῖν καλλωπίζεται, ὡς συμβαίνειν ἄπορον εἶναι θαυμάσαι, ποτέρῳ προέχει τῷ μεγέθει ἢ κάλλει· τριπλᾶς γάρ τις ἐσι, ϗ τὰ μὲν αὐτῷ κατάγειός ἐσι θέα, ϗ τ' ἀφανῇ κάλλει ἀμυθήτῳ κοσμῶν, τὸ δὲ πρὸς ἀρανὸν ἐκτρέχει, τῷ αἰθερίῳ χύματι ἐοικώς· μέση δὲ, ἣν ἀμήχανόντε λόγῳ ἐρεῖν, ϗ πρὸς ἀκρείβειαν ἐξευρεῖν· τὰς δ' ἐξεπίτηδες δρόμους, ϗ περιδρόμους, γεωμέτραις ἴσως ἀποδέσθαι προσῆκον. ἐκ οἶδα εἰμὴ κἀκείνοις τοσοῦτον ἔργον, ἐργῶδες διαμετρήσασθαι· παράδοξον δ' ἐφ' ἅπαντι συνδρομὴν ἐν ταὐθά τις ἴδοι, μήκους πρὸς πλάτος, ϗ βάθους πρὸς ὕψος αὐτῶν, ὥσπερ ἐξεπίτηδες συμπληρούντων τὸ τέμενος καὶ ἁμιλλωμένων αὐτῶν ἕκαστον, ἐντεῦθεν μᾶλλον οἷόν τ' ἐσι δειχθῆναι. Καὶ στοιχείων αὖθις ἔριν δήτινα ἀγαθὴν, ποτέρα κλιθείη ὁ νεὼς διατεινομένων· αἰθὴρ μὲν γὰρ αὐτὸν ἐς ὕψος ἐκτρέχοντα οἰκειῶται· γῇ δὲ αὐτῷ ἁπρίξ ἔχεται· ἀποπνεύσειε δ' ἂν καὶ ἀὴρ οἶμαι, εἴτι αὐτὸν ἀντισπάσειεν ἕτερον. διακεῖται

κεῖται δὲ καὶ τὸ ὕδωρ ἡδὺ, ὅτι ὄχημα ὁ τοσοῦτος αὐτῷ γίνεται, κἀντεῦθεν παρασύρων εἰσποιεῖται αὐτόν. Ὅ-δὲ τὴν ἔριν ἴσως λύων αὐτοῖς, πᾶσιν ἐπίσης ἀνεὶς ἑαυτὸν, ἀρανῷ ἐσήριξε κάρη, ϗ ἐπὶ χθονὶ βαίνει, ϗ ἑδενὸς ἐσιν, ἐπ' ἀσάτῳ σαλεύων, ὥσπερ τῇ τῶν στοιχείων φιλονεικίᾳ· κατὰ δὴ τὸν τῆς γῆς λόγον, ἐπ' ἑδενὸς ἑδραζόμενος, καὶ τῷ φεύγειν ἁπανταχῇ περιάγων τὰς ἐρασὰς, ϗ τῷ δῆθεν κρατέμενος κλέπτεσθαι· ἔοικε δὲ ὅτος οἷον ἀμβρύνεσθαι, ὥσπερ ἢ τῇ παλάμῃ τῇ θεῇ ἑδραζόμενος, ἢ τῷ ἄνωθεν νεύματι, ὡς τόπᾶν συνεχόμενος, ἕ τὴν ἄλλην θέσιν, ϗ τὴν ἐν καλῷ τάξιν, ϗ ἁρμονίαν, ὡς ἐνόν γε διαλαβεῖν, ἔργον σπουδῆς ἑτέρας, ϗ κρείττονος, ἢ καθ' ἡμᾶς· ὥπερ ἄκεν ἄντις ἁμάρτοι, ἢ στερέωμα στερεώματος, ἢ ἀρανῆ ἐφαρμόσας εἶναι ἀκρόπολιν, ϗ ὅρον ἔσχατον τῶν καθ' ἡμᾶς ἀγαθῶν προσειπών, ἐκ ἐν γῇ πεπηγότα, ἀλλ' ἐξημένον τῷ ὄντι τῇ ἄνωθεν ἐκείνῃ καὶ χρυσέᾳ στειρᾷ, ὡς ἔτι ἀρανῆ προβάντα, χάσμα μέγα εἶναι, διασάντος τε, ϗ διερρωγότος· ὕτω δ' ἔχει κάλλους καὶ μεγέθους τὸ ἔργον, ὥστε ὅτε ἄπορος λόγων ὅτως ἑδείς ἐστιν, ὡς μὴ ἂν ἐθέλειν θαυμάζειν ἰδὼν, ἔτ' αὖθις λέγειν ὅτω πρόχειρος ὡς ἐνδείξασθαι ῥᾴδιον εἶναι παντὶ, ϗ μὴ δυσχερὲς ἐγχειρῆσαι· ὁ μὲν δὴ λόγος ὅτω τοῖς τῆς πόλεως καταγοητεύσας καλοῖς, παρήνεγκε τῇ σκοπῇ ἀθρόον ἐπεισπεσών· Ἀλλ' ἐπὶ τὴν ὑπόσχεσιν πάλιν ἀναστρεπτέον τῆς διηγήσεως· ταύτης δὴ τῆς βασιλευούσης τῶν πόλεων, ἀπολλῶ τῶν χερσαίων τειχῶν ἄποθεν πρὸς θάλασσαν ἐπινεύοντα, ἔνθα τὸ ἀνέκαθεν αἱ χρύσειαι πύλαι πρὸς δόξαν ἦσαν τῇ βασιλίδι, τόπος τίς ἐσιν ὡσεὶ στάδιον ἓν διέχων τῆς πόλεως, ὅση πέφυκεν ἀρετὴν εἶναι γῆς κεκτημένος, ἐξ ἀρχαίων δ' ἀνειμένος θεομήτορι, ϗ ὁ τόπος τῷ ἀέρος ἐν καλῷ κείμενος, δένδροις μὲν παντοίοις κατάφυτος, πλατάνων δὲ τὸ πλεῖσον εὐ-

φυῖ-

φυΐᾳ καὶ ἀναδρομῇ κυπαρίττων ὡραϊζόμενος· πόα ἕν αὐτὸν εὐθαλὴς, ἐν μαλακὴ περιέτρεχεν, ἄνθη μὲν παντοῖα προβαλλομένη, ἀποχρῶσα μὲν εὐσιβάδι, ἀρίζη δὲ καὶ βοσκήμασιν ἐφειμένη· πηγὴ δὲ ἀφθόνε καὶ διειδᾶς νάματος ἐξεπίτηδες ἀνατρέχουσα, παρεῖχε μὲν τῷ τόπῳ μετὰ ῥαιζώνης ὅσης τόχάριεν, εὐπρόσωπον δὲ καὶ τὸν χῶρον ἅμα καθίζα· ἀμὴν ἀλλὰ καὶ θεία χάρις ὕδατι ἐπιῤῥεύσασα, ἐνεργὸν αὐτίκα ἐδείκνυ, ἐς πρὸς γονὰς θαυμάτων ἐῤῥωμενέστερον· χρόνος ὁμεταξὺ συχνὸς διερῥυηκώς, ἐν τῷ μὲν ὕδατι ἰλὺς καταβραχεῖ ἀθροισθεῖσα τὴν πηγὴν ἀποκρύπτει, ἐν ἀργὴν πρὸς ἀνάδοσιν ὕδατος δείκνυσιν· ἀλλὰ ἐν τὸ συννεφὲς τῶν δένδρων ἀναφράξαν τὴν εἴσοδον, ὑπὸ συνεργῷ τῷ μέσῳ χρόνῳ, λήθη τὰ τῆ τόπε δίδωσι, ἐν ἦν ὁτόπος ἰλὺς δὴ ἐν μόνη συνεσκεῖα, ἐπὶ νοτίδι βραχυτάτῃ γνωριζομένη. Λέων τοιγαροῦν ἐκεῖνος, ᾧ μακέλης μὲν τὸ ἐπώνυμον, μέγας δὲ ταῖς ἀληθείαις τὸ γνώρισμα, πρὶν ἢ θεῦ νεύσει τὸν βασίλειον κατακοσμῆσαι θρόνον, ἐς ἰδιώτας ἔτι ταττόμενος, ἐν τὸν χειρωνάκτην μετερχόμενος βίοτον, ἐκεῖσε πῃ διϊὼν, ἀνδρὶ περιτυγχάνει πλανωμένῳ πηρῷ, ἐν τῆτον τῆς πλάνης οἰκτείρας, ἦν δὲ ἄλλως ὁ ἀνὴρ ἀγαθὸς, ἐν τῷ συμπαθεῖ τῆς γνώμης, τὸν ἐν πᾶσι σώφρονα τὰ μάλιστα διαγράφων, τότε λαβόμενος τῆς χειρὸς, ὅσα καὶ ὀφθαλμὸς ἐγίνετο τῷ πηρῷ, δι ὁμαλῆς ἄγων, καὶ πᾶν εἴτι σκῶλον, ἐν λυπᾶν ἐκτραχύτητος διωδεύμενος, ἐν ὁ μὲν ἡγεῖτο, ὁ δ' εἵπετο· ὡς δὲ πολλὴν ὁδὸν ἦσαν ἐξηνυκότες, ἐν πλησίον τῆ τέλματος γένοιντο, ἐτρύχετο μὲν ἐπὶ μᾶλλον ὁπηρὸς τῷ δίψει, ἐν καταπίπτειν ἦν ἕτοιμος, ἅτε τῆ ὑγρῆ ἐκτακέντος σύμπαντος: τότῳ, ὑπὸ σφοδροτάτῳ τῷ καύματι· ἐπέκειτο τοίνυν τῷ Λέοντι, ἐν συχνότερον αὐτὸν κατηνάγκαζεν, ἰάσασθαι μὲν ἐκείνῳ τὸ δίψος, ἐν τὸν ἐκ τῆς ὁδῆ κάματον ἐραχύτι διαναπαῦσαι,

Θαῦμα ά.

ὑπὸ σκιάντινα ἐφιζήσαντας· θεῦ δὲ ἦν ἄρα τᾶτο τῆς ἀῤῥήτε γνώσεως ἐν σοφίας, εὐμηχάνως ἅπαν καθισαμένης, κἀκεῖνος οἴκτῳ τῷ πρὸς τὸν πένητα, τὸ βαθὺ τῆς ὕλης ἅπανταχῆ περιήει, εἴπε ῥανίς τις ὕδατος ἀνεσκίρτα διερευνώμενος· ὡς δὲ πολλὰ καμὼν ὑπέστρεφεν ἄπρακτος ἀγωνιῶν, ὅτι μὴ κἂν τότῳ τῷ πένητι συνετέλεσεν, ὃς παραμυθίαν, φωνῆς ἀῤῥήτε παρὰ δόξαν φερομένης ὑψόθεν ἀκούει, ἐ χρεών σε Λέον ἀγωνιᾶν λεγούσης, ἐγγὺς γὰρ τὸ ὕδωρ ἰδέ. ὁ δὲ τῷ ξένῳ καταπλαγεὶς τῆς φωνῆς, ἀνεζήτει πάλιν τὴν τᾶ ὕδατος εὕρεσιν, ἀλλ' ἀτεχνῶς καὶ ἔτος τυφλὸς ἦν, περιϊὼν μὲν ἐκεῖνο, ἤκουσα δὲ ὁρῶν, τὸ, τε γὰρ τῆς ὕλης ἀπείργεν ἀμφιλαφὲς, ἐ τὸ τέλμα συνεχῶς ἐς βάθος μέγα, τὸν ἄνδρα πόῤῥω ἀπήλαυνεν, ὅθεν ἐ ἀχθομένῳ ἐῴκει, εἰ ταυτὰ τῷ χειραγωγεμένῳ πάσχειν ἐξῆν, ἔνθεν τῷ νῷ συμβάλλων τὰ τῆς φωνῆς, ἐ τὸ ὕδωρ αὖθις ὅπε διερευνώμενος, πάλιν ἐν μεθέξει τῆς ἴσης φωνῆς γίνεται, ἡδύ τι καὶ ἀσεῖον ἄνωθεν ἐξηχήσης, τό, τε ὄνομα αὐτῷ προσιθείσης, ἐ τὸ μέλλον ὅσον ἅπω τῆς βασιλείας αὐτῷ ἐπισφραγιζήσης ἀξίωμα· ἐ Λέον φησὶν ἑτωσὶ βασιλεῦ, εἰσιὼν τὸ συννεφὲς τετοῖ καὶ κατάσκιον, κἀ κτᾶ θολερᾶ τότε ὕδατος ὑρευσάμενος, ἐ τᾶ ἰλυώδες τετοῖ τέλματος μετὰ χεῖρας λαβὼν, ἐπίχρισον μὲν τὰς ὀφθαλμὰς τῷ πηρῷ, ἐ τὸ δίψος ἀκέσασθαι προθυμήθητι. ἥτις δέ εἰμι, ἐκ πολλᾶ τὸν τόπον κληρωσαμένη, ἐ ἐπὶ τότῳ δὴ γανυμένη, ἐ πολλᾶ δεήσῃ γνῶναι ἐκ τᾶ αὐτίκα. σὺ δ' ἀλλ' ὡς ἂν ἐ τὰ πρὸς οἶκον μοι εὐτρεπίσῃς, ᾧ ἐπὶ μᾶλλον τὰς διατριβὰς ἔξω, ἐ τὰς περιπάτας ἡδίας ποιήσομαι, δι ἃ καὶ πᾶσιν αἰτεμένοις, ἐ τὸν τόπον πόθῳ καταλαμβάνεσιν, ἀδιςάκτε πίσεως ἐπιμιγνυμένης, ἐπαρκέσω πάντως, ἐ ἀδέν ἐςιν ἔμοιγε, ὃ ἀντιβλέψει τὸ παράπαν, ἐ μὴ θᾶττον εἴξει τῇ δυνασείᾳ, κἂν δαίμων εἴη,

κἄν νόσος Ἰατρῶν ἐν δευτέρῳ γνῶσιν τιθεῖσα, κἄν τι ἄλλο τέως, σὺν λόγῳ αἰτιάμενον. πειθεὶς οὖν αὐτίκα ὁ Λέων τῇ λαλιᾷ, καὶ τὸ πηλὸ λαβόμενος, καὶ τὸ νάματος ὀλιγωρῆντι, καὶ τὸ πνεῦμα σβεννυμένῳ, φαίνεται τῷ τυφλῷ, καὶ χρίει μὲν ἐκείνῳ τὰς ὀφθαλμὰς τῷ πηλῷ κατὰ τὸν ἐκ γενετῆς ἐκεῖνον τυφλὸν, εἶτα καὶ τὸ ὕδατος μεταχόντι, καὶ τὰς ὀφθαλμὰς ἀνατρίψαντι· βαθαὶ τῶν σῶν μεγαλείων θεογεννήτρια, Σιλωὰμ ἐκείνῳ, τὸ θολερὸν τὸ ὕδατος, καὶ ὁ πηλὸς γίνεται· εὐθὺς γὰρ ὁρᾷ, καὶ τὸ χρόνιον ἀποτίθεται σκότος, παραδόξοις ὄμμασι τῷ ἡλίῳ ἐνατενίζων, μᾶλλον δὲ τῇ ἰλύϊ, καὶ τῷ πηλῷ· ὥσπερ γὰρ ὁ ἥλιος πρῶτον διδοὺς τῇ ὄψει τὸ φῶς, πρῶτος καὶ παρὰ ταύτης ὁρᾶται· ἕτω νῦν φωτὸς χορηγὸς γενόμενος ὁπηλὸς, πρῶτος ὁρᾶται τῷ ἀναβλέψαντι, καὶ τοῦτο δὴ τὸ παράδοξον· ὃ γὰρ ἐῤῥωμένῃ τῇ ὄψει ἐςὶ πολέμιον, τοῦτο νῦν τὴν ἕξιν ἀποβαλλομένῃ, σωτήριον γίνεται· τὶ τοῦτο τὸ κατὰ τὸν Σιλωὰμ θαύματος γένοιτ' ἂν ἀτιμότερον· πτύσμα γὰρ ἐκεῖ, καὶ πηλὸς, εἰς ὀφθαλμῶν διάπλασιν γίνεται τῷ ἐκ γενετῆς, κἀνταῦθα φωνὴ καὶ πηλὸς τὸ ἴσον γνωρίζεται πράσσοντα, εἴπερ ἐκ σόματος ἄμφω, καὶ πτύσμα καὶ ἠφωνή· πλὴν ἀδὲν τὸ καινὸν, εἰ ταὐτὰ τῇ μητρὶ πράσσειν ὁ ὑπὲρ φύσιν χαρίζεται, καθάπαξ ἐκεῖνον ὑπερφυῶς μιμεμένῃ· ἐγὼ δ' ἄνμοι δοκῶ, ταὐτὸν ἀμφοτέρας τόν τε πηρὸν λέγω, καὶ τὸν χειραγωγήσαντα Λέοντα, παθεῖν τῷ Σαὰλ· ὁ μὲν γὰρ τῇ τῶν ὄνων ἐρεύνῃ, τὸ βασίλειον περιτίθεται· τῶν δ' ὁ μὲν τῷ δίψει τὴν βασιλεύσαν πορίζεται τῶν αἰθήσεων· ὁ δὲ λέων τῷ συμπαθεῖ τῆς γνώμης, τὴν βασίλειον ἀναβαίνει περιωπὴν, βασιλείαν κτησάμενος φιλανθρωπίας ἀντίδοσιν. τοσοῦτον μεγαλοδωρεᾶς τῇ βασιλίδι περίεσιν, ὡς μικρὰ αἰτιμένην, μᾶλλον ἢ ἀδὲν, τὰ μεγάλα χαρίζεσθαι, καὶ ἀντιδιδόναι τῷ φιλανθρώπῳ, τῶν παρ' ἡμῖν μεγίσων

γίσων τὸ κράτισον. Λέων γεμὴν ὁ μέγας ἐς ὕσερον κατὰ τὴν τῆς θεομήτορος πρόῤῥησιν τῷ βασιλείῳ θρόνῳ ἐνιδρυθεὶς, αὐτίκα τὴν εὐεργέτιν ἀμείβεται· καὶ δὴ τὸν τόπον ἐκεῖνον τῆς ἴλύος ἀνακαθάρας, καὶ τῆς πηγῆς ἀναζομώσας τὴν φλέβα, ἐς πολὺ καὶ μέγα τι βάθος ἰὼν ἐκκαθαίρει μὲν αὐτῆς ἅπαν νόθον, καὶ περιττὸν, περὶ κύκλῳ δὲ ταύτην ἱκανῶς διαφράξας οἰκοδομίᾳ σεμνῇ, νεὼν τῇ θεομήτορι ἀνιςᾷ, ἐπ' αὐτὴν δὴ τὴν πηγὴν περιςήσας τὸν ὄροφον, ὁ δὲ ἐςιν ἀχ ἧττον ἐς γῆν βαθυνόμενος, ἢ ὑπὲρ γῆν τὸ ὁρώμενον· ἄνεισι μὲν γὰρ ἐξ αὐτῶν οἶμαι τῆς γῆς τῶν κρηπίδων τὰ κτίσματα, ἐν τετραγώνῳ δἢθεν ξυγκείμενα, ἑτερομήκη δὲ τὴν θέσιν καθιςῶντα τῷ δόμῳ, ὡς συμβαίνειν τριημόριά πε εἶναι τῷ μήκει τὸ εὖρος· ἀλλ' ἀποίκιλος μὲν ἡ οἰκοδομία τοῖς τοίχοις, ἕως τῆς γῆς ὑπερκύψασι, μικρὸν δὲ ὑπερφανεῖσι τῆς γῆς αὐτίκα ποικίλεται· ςοὰς γὰρ τέσσαρας διαγράφουσιν, ὧν αἱ μὲν δύο, πρὸς ἀνίσχοντα καὶ δύοντά πε τὸν ἥλιον, κατὰ κενὸ τὸ ἀέρος μετεωρίζονται· αἱ δ' ἐπὶ θάτερα τάτων, τοῖς γειτνιῶσιν ἐναπερειδόμεναι τοίχοις, συνεξυφαίνονται, καὶ τελευτήσασιν ἐπικάθηνται. οἰκοδομία δέ τις ἐφύπερθεν τῶν ἀψίδων κύκλῳ περιτρέχει τὸν δόμον, ἀνεσαλμένη κατὰ βραχὺ, καὶ ςοαῖς τισιν ἐπίσης διαλιπάσαις ἐρείδεται. ἐς ἀγωγὴν δὲ φώτων ἀποκεκλήρωται τὸ διάλειμμα, ἐξ ὧν καὶ φῶς ἄπειρον ἐπεισρεῖ τῇ πηγῇ, καὶ περιδσία αἴγλης, ἐν μεγάλῳ, καὶ πολλῷ τῷ φωτὶ καταςράπτει τὸν χῶρον. ἐπὶ τάτοις ἡθόλος μετεωρίζεται, ὄροφος ἐν σφαιροειδεῖ μεταρσίῳ ἠρέμα ἐς βάθος ἐπικυρτάμενος· κόσμε δὲ τοσῶτον τάτῳ περίεσιν, ὡς εἰκάσαι τῷ ἀρανῷ, περιλαμπομένῳ καὶ ἀνθοῦντι πυρί. τὰ γεμὴν ἀδύτε τὸ ἄνωθεν, καὶ τὸ ὑπὲρ αὐτὴν δὴ τὴν πηγὴν οἰκοδόμημα ἕτερον διαφράττει, ἐπιπέδῳ θόλῳ κοσμέμενον ὡς ἂν ἀποπληροίη τῷ ἑτερομήκει τὸ

κόσμι-

Περὶ τῆ νεὼ τῆς πηγῆς καὶ ἔκφρασις αὐτῆ.

κόσμιον. καίτινας δὲ βαθμίδας ἐναρμοσάμενος ὁ τεχνίτης, κατὰ πέντε πῃ οἶμαι καὶ εἴκοσιν ἑκατέρωθεν, εὐμαρῆ τὴν κάθοδον ἐς αὐτὴν τὴν πηγὴν ὑπανέδειξεν, ἐπὶ μαρμάροις συγκαταβαίνουσιν· ἐντιθεῖσί τι καὶ κόσμῳ καὶ χειραγωγοῦσι τοὺς κατιόντας, ἵνα μὴ ταῖς νοτίσι διολισθαίνωσιν. ἡμὲν οὖν ἐξὶν ὑπτία, θατέρα δὲ καὶ τῇ σκολιᾷ συμμετέχουσα, χρυσῷ μὲν ἀκιδδήλῳ ἡ ὀροφὴ πᾶσα, μᾶλλον δὲ ἡ κεφαλὴ τῷ νεῷ, κατακόρως ἐγκέκρυπται· τῷ ὑέλῳ ἐπιπολάζοντι διαφαινομένῳ, καὶ αὐγὴ μαρμάρων, ἃ ὁ τοῖχος ἠμφίεσαι, ἀπανταχῇ περιασράπτει τὸ τέμενος. ἡδὲ πηγὴ κεδὸν, κατὰ μέσον ἐξὶ τὸν χῶρον· μικρὸν γάρ τι τοῦ μέσον εἶναι ἀναχωρεῖ· εὖρος ὀργιῶν πῃ δύο διακατέχουσα, ἀέννααα ψυχρά τε, καὶ διειδῆ προβαλλομένη τὰ ῥεῖθρα· μαρμάρων δὲ οἰκοδομὴ ἐντετραγώνῳ αὐτὴν ἀποφράττει, σόμιον ἱκανὸν ἀνιεῖσα, τοῖς βαλομένοις ὑδρεύσαθαι. τοῦ δ' αὖ τετραγώνα ἐξ ἑκατέρωθεν, ἶσαι ταῖς προειρημέναις βαθμίδες ἐγείρονται, αἱ μὲν ἐς ἥμισυ σφαίρας σχηματιζόμεναι, ἄλλαι δὲ καὶ πρὸς τὸ τετράγωνον ἀποτελευτῶσαι, κατὰ ἕξ ἑκατέρωθεν, εἰς τὸ ἄνω τῆς πηγῆς τοὺς βαλομένους διαβιβάζουσαι, καὶ μετρία δέ τις φιάλη πρὸ τοῦ σόματος ἔσηκε τῆς πηγῆς, βραχὺ κοιλαινομένη, ὡς αὐτίκα μάλα τὴν ὑδρίαν ἐπιδεξομένη, ἐς ὀπάστινας διατετρημένη, ὡς ἂν τοῖς ἐκρέουσι χώραν χαρίζηται· κοῖλον δέ τι ἕτερον ἐπ' ἐδάφους αὐτὴν ὑποδέχεται πρὸ τῆς ἐπιῤῥοῆς τῆς πηγῆς, ξενοχωρουμένῳ δὴ τῷ ὑγρῷ ἁπανταχῇ παρέχον διέξοδον· δίεισι δὲ ὁ ὀχετὸς κατὰ μέσον τὸν δόμον, τὸ ἄδυτον διαιρῶν, ἐμπεφραγμένος παντάπασιν· ὀπὰς δὲ δύο ἀνοίγνυσιν, ἡμὲν κυκλωτερεῖ λίθῳ ἐνηρμοσμένη κατὰ μέσον τὸν δόμον, ἡ δ' ἑτέρα γειτνιάζει πρὸς τ' ἄδυτα, ἑτερόμηκες περικειμένη τὸ ἔλυτρον· ἀφ' ἧ καὶ τὸν ἱερὸν πηλὸν, καὶ καθάρσιον δοιδυκοειδεῖ τινι πτύῳ ἀῤῥύονται, οἷς ταῦτ' ἐπιτέτραπται ὑπηργεῖν· κέκραται δὲ καὶ τὸ ὕδωρ ἐς παράδοξον ἕνωσιν· τοῦτε γὰρ ψυχρὸν παντάπασιν εἶναι ἐνδεῖ, καὶ τοῦ χλιαρὸν εἶναι πάλιν ἀφίσαται, ὡς συμβαίνειν παντοῖον καὶ ὅσον γίνεσθαι τοῖς ἐθέλουσι, κατὰ τὸ τῷ μάννα ἀδόμενον. ἔσι δὲ τὰ μάλισα διειδές τε καὶ κοῦφον ταῖς τοῦ πνεύματος αὔραις μετεωριζόμενον· καὶ τὸ δὴ πάντων ὑπερκείμενον, ὅτι τῶν ἐναντίων εἶναι θεραπείαν τὸ ὕδωρ τοῦτο συμβαίνει· ὧν γάρ ἡτέχνη νοσημάτων ἀπεῖπε τὴν περὶ τὸ ψυχρὸν ἀχολίαν, τούτων εὕροις ἂν ὡς θᾶττον τούτῳ τὴν ἴασιν. ἀλλ' ὅμε μικρᾷ διέλαθεν βάλλομαι διεξιέναι ἀξιοθέατον ὄν, ἔχει μὲν γὰρ πᾶς ὀχῶρος εἰκόνας παντοίας, ἐξάισι ἄττα τῶν τοῦ χρισοῦ, καὶ τῆς θεομήτορος ἐνηρμοσμένας ψηφίσι. φαίης ἂν τοῖς πλάσμασι καὶ τὴν φύσιν αὐτὴν ὑσερεῖν. τῇ γεμὴν μέσῃ θόλῳ, ἡ ὄροφος καθίσαται τῷ νεῷ, αὐτὴν ὁ πλάσης τὴν ζωηφόρον πηγὴν χερσὶν ἰδίαις ἀρίσως διέγραψε, τὸ πάγκαλον βρέφος, καὶ προαιώνιον, ὡς διειδές τι καὶ πότιμον ὕδωρ, ζῶν καὶ ἁλλόμενον, τῶν κόλπων ἀναμορμύρουσαν, εἰκάσαις ἂν νεφέλην αὐτὴν κατιδὼν, ῥέμα ὡς ὑετὸν ἀψοφητὶ τὸ ὕδωρ ἄνωθεν καταῤῥέουσαν, καὶ κἀκεῖθεν τῷ ὕδατι ἀτενίζουσαν ἐνεργὸν αὐτὸ καθιζᾶν, ἐπωάζουσαν ὡς ἂν τις εἴποι, καὶ γόνιμον παρισάνουσαν, ἣν καὶ πνεῦμα ἔγωγε τῷ παρόντι φαίην ἂν θεῦ, τῷ ὕδατι ἐπινήχεσθαι· καὶ γὰρ ἀμέλει τοῦ κατέναντι τῆς μορφῆς ὀμφαλοῦ, καὶ τὸ ὕδωρ τῆς ροῆς ἐπιπωματίζοντος διαῤῥέντος τῆς σκιᾶς ἀνταναπλωμένης τῷ ὕδατι, ἴδοις ἂν ὡς ἐν κατόπτρῳ, μετὰ τοῦ ζῶντος νάματος, αὐτὴν τὴν θεομήτορα ἐπινηχομένην, καὶ μαρμαρυγὰς ὑπερφυεῖς ἀφιεῖσαν, ὡς συμβαίνειν θαυμάζειν, ποτέρῳ μᾶλλον πιστευτέον εἶναι, ἆρα ἐκ τοῦ ὕδατος τὸν τύπον ἄνωθεν διαγράφεσθαι, τῷ ἡλίῳ κάτωθεν τῷ νοητῷ προσβάλλοντι ἀποπαλλόμενον τὸ παραδοξότατον, καὶ τῇ ὀροφῇ διασώζεσθαι, ὃ καὶ μᾶλλον δίκαιον ἐκ

λογί-

λογίζεσθαι, ἢ ἄνωθεν τὸν τύπον προσβάλλειν τῷ ὕδατι, ὡς ἐν κατόπτρῳ ἀνταναικλώμενον. ἀλλὰ τοιοῦτον μὲν τὸ τέμενος ὁ Λέων τῇ θεομήτορι ἀνιζᾷ, πηγὴν τὸν χῶρον κατονομάσας, ἐξαίσιον οἷον ἰδόντι, κρεῖττον δὲ ἢ λέγειν, καὶ τοῦτον τὸν τρόπον ἡ ἐν τῷ ὕδατι χάρις ἐξέλαμψεν. ἐς ὕστερον δὲ καί τινες προσθήκαις οἰκοδομημάτων τὸν χῶρον ἐσέμνυναν, κάλλος περιεργότερον περιθέμενοι, καὶ ὡραιοτέραν τῷ τόπῳ ἐπαγαγόντες εὐπρέπειαν. Καθὰ δῆτα καὶ Ἰουστινιανὸς ὕστερον, τὸν μέγιστον, καὶ περικαλλῆ δόμον τῇ θεοτόκῳ ἀνήγειρε, τῆς εὐεργεσίας αὐτὴν ἀμειβόμενος· τὰ περὶ τὴν κύστιν γὰρ ἕτος ὁ βασιλεὺς νοσήσας πικρότατα, ταχυτέρας ἔτυχε τῆς ἰάσεως· τῆς γὰρ κατὰ φύσιν ἐκροίας ἀναχαιτιζομένης αὐτῷ, ὑπὸ σκληρᾶς ἀγωγαῖς, καὶ διαίτῃ πονηρᾷ, καὶ φαύλῃ· ταύταις γὰρ ἐπαιδαγώγει τὸ σῶμα, λίθος ἐξ ὑποσάσεως μοχθηρᾶς ἐνσκιρρωθέντος τοῖς ἔσωθεν, καὶ τὰ περὶ τὸν ἀγωγὸν ἐμφραγνῦντος, ἡνίκα πρὸς κατάῤῥην τὸ ἕρον ἀνηρεθίζετο, τῶ ῥεύματος περὶ τὴν κατὰ φύσιν πορείαν χρονίζοντος, συντριβὴς ὁ κρατῶν ταῖς ὀδύναις ἐγίνετο. ὅθεν τὸ πάθος κατ' ὀλίγον ἀκμάσαν ὑπέρτερον τῆς ἀπὸ τῶν ἰατρῶν ἐπικρίας ἦν, καὶ συχνὸς δῆτα χρόνος τάυταις ταῖς ὀδύναις ἐτρίβη τῷ βασιλεῖ, ὡς ἀπολελειμμένον μὲν ἐκεῖνον γενέσθαι πρὸς ἰατρῶν, καὶ αὐτὸν ἀπ' ἐλπίδος τοῦ βιῶναι γεγενημένον δόκησιν πᾶσι παρασχέσθαι, ὡς ἀποθάνοι· ἔτως οὖν ἔχοντι τουτωΐ, καὶ ταῖς τῶν ἔνδον ῥευμάτων κλυδωνιζομένῳ καταῤῥοαῖς, καὶ χαλεπῶς τοῖς σρώμασιν ἔχοντι, περὶ μέσας νύκτας ἦχος φωνῆς ἤκουσαι μήπω πρότερον τοιαύτης ἁρμονίας ἀπολελαυκότι, ἐδυνατὸν ὑπαγορευέσης ὦ βασιλεῦ, σὲ τὴν προτέραν ἕξιν ἀναλαβεῖν, εἰμὴ κατακορὴς τοῦ ἐμοῦ ὕδατος γένοιο· ὁ δὲ μήτε δὴ τὸν φωνήσαντα, ὅς τις εἴη, διεγνωκὼς, μήτε μὴν τὸν τόπον, καθ' ὃν τὸ ὕδωρ ἐκ τοῦ ῥάχεος διαγνῶναι δεδυνη-

Θαῦμα β'.

δεδυνημένος, ἀχθομένῳ ἐώκει, ὅτι δὴ μὴ ἀκριβῶς διερευνήσοι τὸ ἄκεσμα· καὶ δὶ ἑτέρας αὖθις νυκτὸς, ἐγρηγορότι πρὸς ὄρθρον τῷ βασιλεῖ, ἐμφανῶς αὐτῷ ἡθεομήτωρ κατὰ σχῆμα σεμνῶς ἔχεσα, καὶ κοσμίως, παρίσατο, καί φησιν· αὐτίκα τῆς κλίνης διαναστὰς, παρὰ τὴν ἐμὴν πηγὴν πέμψον, καὶ τοῦ ἐκεῖθεν ὕδατος ὅσον τάχος μεταλαβὼν, ἀποτρίψεις αὐτίκα μάλα τὴν νόσον, καὶ τοσοῦτον τῆς ὑγείας μετέσαισοι, ὡς ἐντεῦθέν σοι δοκεῖν ἔσαι, ῥᾴονι ἢ πρότερον εἶναι· τοίνυν καὶ διεγερθεὶς, ἐπὶ τὸ ὕδωρ προῆγε τὴν πίσιν, πᾶσαν τέχνην ἐν δευτέρῳ τιθεὶς, καὶ ἐκ ἁμαρτάνει δόξης τῆς ἀληθοῦς· κεκόμισο μὲν γὰρ ἐς ὅσον τάχος τὸ ὕδωρ, χανδὸν δὲ ὁ βασιλεὺς τῷ πόθῳ, τότε μετέσπα· τὸ δὲ πάθος εὐθὺς ἐχώρει, καὶ τὸ πονηρὸν ἀπεδίδρασκεν ἐκεῖνο ῥεῦμα, ταῖς ἐπιῤῥοίαις τῆς θεομήτορος διαθεὶν· ὁ μὲν γὰρ λίθος ἐσφενδονᾶτο τῶν ἔσωθεν, τῷ πηγάσαντι ἐξ ἀκροτόμου ὕδατι, μᾶλλον δὲ τῷ ἄνευ χειρὸς τμηθέντι λίθῳ συντριβόμενος καὶ διαλυόμενος, καὶ ὁ κρατῶν, ὑγιὴς ἀνεδείκνυτο. τοίνυν καὶ τὴν εὐεργέτιν προσαμειβόμενος, ἅτε καὶ αὐτῷ τὴν βασίλειον περιποιησαμένην ἀρχὴν, τὸν νῦν ὁρώμενον ὑπερμεγέθη δόμον, ἐξ αὐτῶν κριπίδων ἀνίσησι, παρ' αὐτὰ τὰ κράσπεδα τοῦ πρώην νεώ, σὺν μικρᾷ, μεγίσης εὐεργεσίας ὑπόδειγμα, κήρυξ εὐεργεσίας, ὡς ἄντις εἶπη, καὶ σιγῶν διαπρύσιος. πλὴν ἀλλὰ καὶ τὰ τοῦ παρόντος τεμένους διεξιέναι, ὁποῖον μεγέθει καὶ κάλλει, φιλοτίμῳ τε χειρὶ πρὸς τοῦ βασιλέως ἐξεργασθὲν παρήσειν δοκῶμοι, ἅμα μὲν τῷ πολλῷ καὶ νεωτερίζοντι χρόνῳ κατασειοθὲν, καὶ μηδὲ ὁποῖον τὰ πρῶτα γέγονε θεωρέμενον, ἅτε ὑπὸ σεισμῶν διαφόρων κατεργασθὲν, καὶ αὖθις χερσὶ, καὶ δαπάναις βασιλείοις ἀνεγερθὲν, καὶ πάλιν ἐῤῥειπωθὲν, ὡς κατὰ καιρόν μοι λελέξεται. παρίτω τοίνυν ὁ ἐκ Καισαρείας Προκόπιος, καὶ τὰ κατὰ τὸ παρὸν τέμενος διαζωγραφείτω

Περὶ τοῦ μεγάλε τῆς πηγῆς νεώ.

φείτω τῷ λόγῳ, παρὼν δηλαδὴ, καὶ ὄψεσιν οἰκείαις τᾶτο ἐξακριβάμενος, ὅ,τι δῆτα πρὸς τᾶ βασιλέως ἀνωκοδόμητο. λέγει δὲ ἄτως, ἀρκτέον δὴ ἀπὸ τῶν τῆς Θεοτόκε Μαρίας νεῶν. πολλὰς τοίνυν ἐκκλησίας Ἰσιδωρος ὁ βασιλεὺς τῇ θεοτόκῳ ἐδείματο, πανταχόθι τῆς ῥωμαίων ἀρχῆς, ἄτω δὴ μεγαλοπρεπεῖς τε καὶ παμμεγεθεις, καὶ χρημάτων ὄγκῳ ἐξεργασθείσας ὑπερφυεῖ, ὥς τε ἤν τις αὐτῶν μίαν κατὰ μόνας θεῶτο, εἰκάσειεν ἂν τᾶτο αὐτῷ μόνον εἰργάσθαι τὸ ἔργον, καὶ περὶ τᾶτο ἠσχολημένον ἅπαντα τῆς βασιλείας κατατρίψαι τὸν χρόνον. ἀλλὰ νῦν ὅπερ εἶπον, τὰ ἐπὶ τᾶ Βυζαυτίε ἱεράμοι γεγράψεται. τὸν μὲν ἓν ἕνα τῆς Θεοτόκε νεὼν ᾠκοδομήσατο πρὸ τᾶ περιβόλε, ἐν χώρῳ καλεμένῳ Βλαχέρναις, καὶ τὰ ἑξῆς. ἕτερον δὲ ἱερὸν αὐτῇ ἐν χώρῳ καλεμένῳ Πηγῇ ἀνέθηκε, τῆς νόσε αὐτὴν ἀμειβόμενος, ἔνθα ἔςι δάσος κυπαρίσσων ἀμφιλαφὲς, λειμὼν ἐν ἀπαλαῖς ταῖς ἀρόραις τεθηλὼς ἄνθεσι, παράδεισος εὐφορῶν τὰ ὡραῖα, πηγὴ ἀψοφητὶ ἐλύζασα γαληνὸν τὸ ὕδωρ καὶ πότιμον, ἱεροπρεπῆ ἐπιεικῶς πᾶντα. ταῦτα μὲν ὁ ἀμφὶ τὸ τέμενος χῶρος· αὐτὸν δὲ τὸν νεὼν, ἃ δὲ ὀνόμασιν ἐπαξίοις συλλαβεῖν ῥᾴδιον, ἃ δὲ διανοίᾳ σκιαγραφῆσαι, ἀδὲ διαψιθυρίσαι τῷ λόγῳ· τοσᾶτον δὲ μόνον εἰπεῖν ἀποχρήσει, ὡς τῶν ἱερῶν κάλλειτε, καὶ μεγέθει ὑπεραίρει τὰ πλεῖςα. ταῦτα δὲ ἄμφω τὰ ἱερὰ, πρὸ τᾶ τῆς πόλεως πεποίηται τείχες, τὸ μὲν ἀρχόμενον παρὰ τὴν τῆς θαλάσσης ἠϊόνα, τὸ δὲ ἄγχισά πη τῶν χρυσῶν καλεμένων πυλῶν· ἃς δὴ ἀμφὶ τὸ τᾶ ἐρύματος πέρας συμβαίνει εἶναι, ὅπως δὴ ἄμφω ἀκαταγώνιςα φυλακτήρια τῷ περιβόλῳ τῆς πόλεως εἶναι. ταῦτα μὲν διεξοδικώτερον εἴρηται, ὅπως τε συνέχῃ τὸ κατ' ἀρχὰς, καὶ τίνες οἱ τῶν δόμων ἐπιδημιεργοὶ τοῖς ἀγνοᾶσι διατρανώσαντες.... ἐμὴν δὲ καὶ τῆς ἑξῆς τὸ πλάτος ἄτω τηρήσομεν. ἀλλ' ἐπεὶ τὴν

τὴν τῶν θαυμάτων πλημμύραν προσηνεῖ τῷ ῥείθρῳ ὁρῶ περικλύζασαν, ἐπ' αὐτῇ δὴ καὶ τρέψω τὸ τᾶ λόγε ἀκάτιον. σὺ δέ μοι τὸ σκάφος ἰθύναις τᾶ λόγε, τῷ ῥοθίῳ τῶν σῶν θαυμάτων διολισθαίνον παρασκευάζασα. Τῷ μεγάλῳ τάτῳ βασιλεῖ Ἰσιδωνιανῷ γυνὴ Θεοδώρα ἐτύγχανεν ἅσα ταύτῃ δὲ προσῆν συγγενὴς, Γλυκερία τἄνομα· ἥ τινι πάθος ἐν τοῖς ἀποκρύφοις μέρεσιν ἐμφωλεῦσαν, πᾶσαν μὲν ἰσχὺν φαρμάκων προσβάλλασαν ἀπεκρύετο, καὶ τὸ μηδὲν εἶναι διήλεγχε, καὶ διχῇ τὸ πιέζον ἦν, ὅτι τε σφοδροτέραις ταῖς ὀδύναις ἐπεπολιόρκητο, καὶ τὸ δὴ μεῖζον τᾶ πάθες, ὅτι καὶ κίνδυνος ἐκ ἐλάχισος ἐπεκρέματο ἐν φανερῷ ἐκκεῖσθαι τοῖς θεραπεύσιν, ἃ γυμνὰ φανῆναι ἀνδράσιν, ἀπηγορευμένα ἐξὶ τῇ φύσει· καὶντεῦθεν καὶ τὸ ζῆν ἀπολεγομένη τῇ Γλυκερίᾳ, ἡ παρθένος ἐπὶ πόρρω νυκτῶν ταύτῃ ἐμφανισθεῖσα, τᾶ σφετέρε τε ὕδατος μετασχεῖν προστάσσει, καὶ τᾶ πηλᾶ λαβομένῃ, ἐπιχρίσαι τὸ θλίβον· γίνεται τοίνυν, καὶ τὸ πάθος εὐθὺς ἐξεῖρπε τῶν ἔνδον, καὶ διελύετο, ὑπερφυᾶ τὸν αἶνον ἐγεῖρον τῇ Θεομήτορι· αὐτῇ πρεσβείαν μετὰ τὸ πάθος ἐξέλει τῷ βασιλεῖ, ἐκχωρῆσαι οἱ τῷ νεῷ αὐτῆς, πρώτῃ μεταλαχεῖν τῆς ταφῆς, καὶ τετύχηκε μὲν ἥκισα. νεὼς γεμὴν ὁ τῆς Θεομήτορος ἄνης αὐτὴν ἐκληρώσατο· ᾧ καὶ ἡ βασιλὶς Θεοδώρα πολλὰ προσεβράβευσε, κἂν τῷ μέσῳ χρόνῳ, ταῦτα πάλιν ἀπέσβη καὶ διερρύηκεν. Ἔτι τᾶ βασιλέως τάτε, τὴν ῥωμαίων ἡγεμονίαν ἰθύνοντος, τῶν τις ἐν ὑπεροχαῖς ὁμᾶτε καὶ ἀξιώμασι, καὶ γένες περιφανείᾳ διάσημος, ὑγιείαν θορυβηθεῖσαν, καὶ ἀπιέναι μέλλασαν ἀνακτώμενος, πρὸς ἰατρᾶ τινὸς φάρμακον πεπωκὼς, βοήθημα τᾶτο ἔθιμον τῇ συνηθείᾳ καλεῖν, ἐς τοσᾶτον διήμαρτε τᾶ σκοπᾶ, ὡς ὄλεθρον μᾶλλον αὐτῷ ἐντεῦθεν πορίσασθαι, καὶ τῷ σώματι μὲν, ἄκουν, τῇ δὲ νόσῳ μάλισα ἐπαρκέσαι, καὶ κατ' αὐτᾶ

Θαῦμα γ'.

Θαῦμα δ'.

περιςῆσαι τὸ φάρμακον· δίψα γὰρ ἐκεῖθεν προσπεσοῦσα τούτῳ σφοδρὰ, κἀντεῦθεν καὶ τὰ ἔνδον πάντα διακαεὶς, πυρετῷ λαβροτάτῳ συνέχεται· ὅτω δὲ τῷ ἔνδον πυρὶ ἐκκαιόμενος, ὕδατος ψύχειν ἱκανῶ ἀπογεύεται, κἀκεῖνο διαμεταξὺ τῶ φλέγοντος διϊὼν, ᾗ ταῖς φλεψὶ, ᾗ πόροις ἀναπεπταμένοις τῇ θέρμῃ προσομιλῆσαν, ῥήγνυσι τάτῳ τὰ ἔνδον, ᾗ συχνὸν αἷμα τῶν ἐγκάτων ἀπορραγὲν, ἐχώρει χύδην διὰ γαςρὸς, κατὰ βραχὺ δ' ὑπερτερῆσαν, ᾗ τῆς τέχνης κρεῖττον γενόμενον, ὅσον ἅπω καὶ τὸν θάνατον ἐπιςῆναι κατηγγυᾶτο. φήμης τοίνυν ἁπανταχῆ διελθούσης, ὡς εἴη ἐκείνῳ τῆς ζωῆς ὁμίτος ἐπιρτημένος, ἡ βασιλὶς Θεοδώρα, ὕδωρ ἀπορροφῆσαι τῆς ἱερᾶς πηγῆς παρηγγύα μηνύσασα, αὐτόθεν διατεινομένη ἔχειν τὰ παραδείγματα, ὅ,τε γὰρ βασιλεὺς ἐντεῦθεν περίεσιν ἔλεγε, καὶ τῇ πρὸς γένος Γλυκερίᾳ, ἄκαν ἑτέροθεν τὸ ἰάσιμον· ταῦτ' εἰπᾶσα, πείθει· ᾗ ὃς μετὰ τῆς ἴσης πίσεως τᾶ ζωηρύτα νάματος ἀπεγεύετο, ᾗ τὸ καταῤῥέον τᾶ αἵματος τὴν χύσιν τᾶ ὕδατος εὐλαβούμενον, ἀνεσύρετο, ᾗ κατὰ χώραν ἔςη ἐκ τᾶ σχεδὸν, μὴ περαιτέρω δὴ χωρῆσαν, ἀλλ' ἀναςαλὲν τῇ προσψαύσει μόνῃ τᾶ ὕδατος. ὧδέν ἐνδεῖν μοι καὶ ταῦτα δοκεῖ τῶν παθῶν, τᾶ κατὰ τὴν αἱμόῤῥουν ἐκείνην γυναῖκα, πλὴν ὅσον τῇ μὲν κρύφα κλέψαι τὴν ἴασιν δέδοκτο· οἱ δὲ μετὰ τῆς ἴσης πίσεως τᾶ ἀφανᾶς λείποντος, ἐπιτρέχασι, ᾗ ψαύσει μὲν ἄκαν κρασπέδα, καταπόσει δὲ καὶ μόνῃ τᾶ ὕδατος ἀπαλλάττονται, πηγὴν ἀναχαιτιζούσης πηγῆς πονηράν τε ἅμα ᾗ θολερὰν, τῆς ἀφθόνα καὶ διειδᾶς· χρῆν δὲ ἄρα μηδὲ κἂν τάτῳ τᾶ ἰᾶ καὶ λόγα ἐνδεῖν τὰ πρὸς μίμησιν, ἀλλὰ τὸ ἴσον κἂν τοῖς τερασίοις διενεργεῖν. ἱλιγγιᾷν μὲν οὖν τῷ λόγῳ περίεσι, πρὸς τὸ πλῆθος ἐφισαμένῳ τῶν πεπραγμένων τῇ Θεομήτορι. καταλέγειν οὖν ἅπαντα ἐν ἀμηχάνῳ ἐςὶ παντάπασιν· ἃ δ' ἐςὶν ὥσπερεὶ τῶν

τῶν ἄλλων κεφάλαια, ᾗ ὧδε βαλομένῳ περιελθεῖν δυνατὸν διὰ τὸ ἐπίσημον, ταῦτ' εἰρήσεται. Δοτέον τοίνυν τῷ λόγῳ καὶ τὰ κατὰ τὴν τᾶ βασιλεύοντος Μαυρικίᾳ ἀδελφὴν Εὐδοκίαν γεγενημένα τῇ τᾶ Λόγα μητρί. κατὰ δὴ τὸν μαςὸν τῆς εἰρημένης Εὐδοκίας, ἐκχυμᾶ τινος πονηρᾶ, πάθος ἀνέφυ πολλῷ πονηρότερον· πάθος παθῶν ἁπάντων, ἐς κακίαν ὑπερτερᾶν· καρκίνον αὐτὸ παῖδες καλεῖν εἰώθασιν ἰατρῶν· ὃ δὴ κατ' ὀλίγον ἀκμάσαν, ᾗ περὶ κύκλῳ πάντα τὸν μαζὸν χειρωσάμενον, τῷ σκολιῷ τᾶ κινήματος, ὀδύναις τε δριμείαις ἐδίδα τὸ γύναιον, τὰ ἔνδον διαβιβρῴσκον, ᾗ ἀπολέγεσθαι τὴν ζωὴν παρεσκεύαζεν· ὅ,τε γὰρ τόπος ἀτοσὶν ἀδενώδης, ᾗ ἐν ἑτοίμῳ ἱκανῶς ἐνευπαθῆσαι παρέχων τῷ ζώῳ· ἀλλὰ καὶ τὸ περὶ τὴν καρδίαν ἀγχίθυρον τό,τε δριμὺ τῆς ὀδύνης, ὦτρυνον ἐπὶ μᾶλλον, καὶ πονηρός τις ἐδόκει γείτων, ἡρέμα ὑφέρπων, ᾗ ζωγρῆσαι τὴν καρδίαν πραγματευόμενος· κἀντεῦθεν αὐτῷ μὲν τὸ ζῆν ἐν καιρῷ προξενῆσαι, τάτα δ' ἀποςῆναι παρασκευάσαι τὸ γύναιον· ἀμέλει καὶ τὸ μὲν ζῶον τὰ κύκλῳ κατεδαπάνα καὶ διεβίβρωσκεν· ἔπαχε δὲ ἡ γυνή· ἀλλ' ὀδέντι ἧσσον ᾗ ὁ κρατῶν τῷ τῆς ἀδελφῆς πάθει κατεβιβρώσκετο· τῶν ἴσων δὲ μετεῖχε διὰ τὸν σύνευνον καὶ ἡ βασιλίς· ἀλλ' ἡ ὀξυτάτη βοήθεια, ἅτως ἀθυμᾶσι τάτοις, ᾗ παθαινομένοις τὰ ἔςατα, νυκτὸς τῇ βασιλίδι ὀπτάνεται κοσμίῳ καὶ σεμνῷ ψυχῆς κατασήματι, καί φησιν· ἀλλ' ἐ χρή γε ἅτως ἔχειν ὑμᾶς ἐν ἀπόρῳ, ᾗ ἐχ ἧττον τῆς νόσα ἐκτετηκέναι, ἀλλ' ὀδ' ἐλπίδι ἥκιςα δυναμένῃ σώζειν, διατρίβειν τὸν νᾶν. εἰ γᾶν αὐτῇ γένοιτο τὸν ἐμὸν θάλαμον ὑπελθεῖν, ἄκαν ἐσεῖταί τι τᾶ λοιπᾶ προσισάμενον, ὃ τῷ πάθει διατρήσει, τὴν ἐπὶ τῷ σήθει διατριβήν· ἡ τοίνυν βασιλὶς θορύβα γενομένη μεσὴ, ἐπεὶ καὶ τᾶ ὕπνα ἤδη ἐλύετο, μὴ τὸν ὄνειρον ὅθεν εἴη ἔχασα διαγνῶναι, γυναῖκα δ' ἄλλως εἶναι

συμβάλ-

Θαῦμα ε'.

συμβάλλεσα τῶν ἐκ πολλῆ χειρίᾳ πιεζομένων, μετεκαλεῖτο πάσας πρὸς τὰ ἀνάκτορα, καὶ ὑπερετίθη τὸν ὄνειρον. ἄλλων τοίνυν λεγεσῶν ἕτερα, καὶ τῆς δε πρὸς τόν δε δὴ τὸν νεὼν διαβῆναι, ἄλλων δὲ ἀλλαχῆ, ὡς ὀδεμιᾷ τάτων τῆς ἀληθείας καταζοχάσαθαι ἐξεγένετο, ἡ Θεομήτωρ ἡμέρας διαλιπέσας τινὰς, τῇ βασιλίδι αὖθις ἐν ἴσῳ ἐφίσαται σχήματι, καὶ σφοδροτέροις ταύτην καθαπτομένη τοῖς ῥήμασιν, ἔλεγεν, ἒκ ἐγώσοι διαπέμψαι τὴν ἀδελφὴν οἶκον δ' ἐμὸν παρηγγύησα; ἡ δὲ βασιλὶς αἰδοῖ, καὶ φόβῳ, ἥτις εἴη μὴ ἀγνοήσασα, διακεκομμένῃ, καὶ παραπαίσῃ τῇ γλώσσῃ ἠμείψατο· τᾶτ' ἀληθὲς μὲν ὦ τῆς συμπαθείας πέλαγος διεκελεύσω· ἐμοὶ δ' ἀγνοεῖν ἐς τόδε χρόνε ἐξὶν, ἔνθα δή σοι φίλη διατριβὴ, καὶ ὅπε τῆς γῆς, ὁ βασιλικός σοι ὕπεσι θάλαμος. πολλῶν γὰρ ὄντων καὶ ἀπειρίτων τῶν γέ σοι ἀνειμένων, ἒκ οἶδ' ὁποίῳ τάτων ἐπιτρέπεις παραγενέσθαι· ἡ δὲ ταῖς ἀληθείαις ἐασίλισσα, τῇ βασιλίδι αὖθις πρὸς λόγε γίνεται· ἐμοὶ τὰ βασίλεια λέγεσα, ἔξω τῆς βασιλευέσης, κεκομψευμένα παντοίοις εἴδεσιν ἀνεγήγερται, καὶ πηγῇ ταῦτα διειδᾶς καὶ ἡδίσε ὕδατος ἐναμβρύνονται, ἄφθονα κατὰ πελάγη ἀναῤῥεέσῃ τὰ νάματα· ὧν εἰ τῇ νοσέσῃ μεταχεῖν γένοιτο, αὐτίκα γνοίη καὶ καρκῖνος ὀρθὰ βαδίζειν, τᾶτο δὴ τὸ παράδοξον, τῇ ἐμῇ δυνασείᾳ ξενοχωρέμενος· ἔφη· καὶ ὁ ὕπνος τὴν βασιλίδα ἀνίησιν. εὐθὺς ἓν νυκτὸς ἐπεχέσης, σὺν τῇ Εὐδοκίᾳ, τῆς Θεομήτορος ἐφίπταται τῷ νεῷ, καὶ ἀδεῶς ἐπισπῶσα τᾶ ἁγιάσματος, καὶ τὸν μαζὸν περικλύζεσα, τῷ ἐκεῖθεν τε βορβόρῳ τὸ ἐκ τῆς φωταγωγᾶ ἀναφύρεσα ἔλαιον, καὶ τὸ πάσχον ἐπιχρίεσα μέρος, ἐφ' ἡμέραις βραχείαις πάνυ, φυγαδεύει τὸ πάθος, καρκίνε δίκην ἀναπόδα χωρήσαν τῇ βαθείᾳ γαλήνῃ τῶν ῥοθίων τῆς Θεομήτορος. Θαῦμα ς'. Ἀλλὰ πῶς ἄν τις καὶ τὸ κατὰ τὴν βασιλίδα Εἰρήνην, ἢ τὴν ἑβδόμην ἀνε-

ἀνεκρότησε σύνοδον, ἀνάρχοιτο σιωπᾷν ὑπερφυῶς διαπεπραγμένον τῇ Θεομήτορι; ἔτι γὰρ αὐτη, σὺν τῷ ἰῷ Κωνσταντίνῳ, τὸν βασίλειον θρόνον διασεμνύνεσα, αἱμορροίας πάθει τὰ ὑπογάστρια πλήττεται· καὶ τὰ μὲν πρῶτα, ὑπωχρόν τε ἦν αὐτῇ τὸ πρόσωπον καὶ συντετηκὸς, τᾷ θερμᾷ καταῤῥέοντος· εἶτα κατ' ὀλίγον πρὸς τὰ ἔνδον συννεύσασα, καὶ ἀηδῶς πρὸς σῖτα διατεθεῖσα, τῶν ὑπογαστρίων ἀναθυμιωμένων ἀτμῶν, καὶ ἀμβλυνόντων ταύτῃ τὴν ὄρεξιν, ἀπόσιτός τε ἐγίνετο, καὶ ὁ ποτὸς ἀδέν τι ἧσσον ἄπρακτος ἔμενεν· ἰατρῶν δὲ ἄρα τέχναι καὶ μαγγανεῖαι, τερατείατε καὶ λόγος ἄλλως ἠλέγχετο· τᾷ θερμᾷ τοιγαρῦν ἅπαντος τῇ βασιλίδι ἐκκενωθέντος, ἀποψύχειν τε αὐτίκα προσδόκιμον ἦν, καὶ ὅσον ἔπω τὴν τελευτὴν ἐπισήσεσθαι· ἐν τάτῳ δὲ τᾷ πράγματος ἠρτημένε, ἐπισάς τις, πεῖρα τὰ τῆς Θεομήτορος ἐγνωκὼς, ἠνώχλει τῇ βασιλίδι παρὰ τὴν πηγὴν ἀφικέσθαι, καὶ τᾷ ἐκεῖθεν πηγάζοντος ὕδατος ἐκπιεῖν· ἡ δ' ἀπτέρῳ τάχει, καί περ τᾷ ζῆν ἀπ' ἐλπίδος γεγενημένη, παρὰ τὸ σόμα γίνεται τῆς πηγῆς· καὶ ἐπεὶ τᾷ ὕδατος μεταλαβεῖν ἤρξατο, τὸ μὲν καταῤῥέον πρότερον, αὐτίκα συνεσάλη θερμὸν, τῷ καταῤῥυέντι ψυχρῷ σομωθέν· ἀναχαιτισθὲν γὰρ, τὴν αὐτῆς ὁλομέλειαν τὸ θερμὸν εὐθὺς διατρέχει, τὸ ζῆν χαριζόμενον· γίνεται γὰρ τὸ ψύχον ὥσπερ τις ἀναψυχὴ, τὸ θερμὸν κατὰ χῶραν μένειν παρασκευάζον, καὶ παρ' αὐτὰ, τῆς οἰκαδε ἥπτετο· τῇ δὲ Θεομήτορι τὴν χάριν ἀποτινυῦσα, πέπλα ἅττα, ὕλῃ μὲν παντοίᾳ κεκομψευμένα, χρυσῷ δὲ τὸ πλεῖσον καὶ μαργάροις καταζαπτόμενα τῷ νεῷ αὐτῆς ἀνατίθησι, καὶ τῆς ἀναιμάκτε θυσίας κρατῆρας, ὕλης ἀρίσης, λίθοις καὶ μαργάροις διαφανέσιν ὑπερτερᾶσι καὶ αὐτὴν χιόνα χαρίζεται, πρὸς δὲ καὶ τὸ τᾶ ἱᾶ καὶ βασιλέως σέφος αὐτό· ὡς ἂν δὲ εἴη καὶ τὸ θαῦμα περιᾳδόμενον, καὶ πᾶσι δὴ

δὴ γνώριμον τοῖς εἰσέπειτα, προστάσσει αὐτήν τε, καὶ τὸν ἰδὸν ἀνὰ τὸν νεὼν πρὸς ἐνώπια εἰσιόντι, ψηφίδι περιέργῳ ἀναςηλῶσαι, τὰ περίχρυσα τᾶυτα δῶρα, ταῖν χειροῖν περιφέροντας, καὶ ἐς ἐμὲ νῦν εἰσι θεωρέμενοι, εἰ χρὴ τόδε φάναι, σιγῶντες ἐπαινέται τῆς μεγαλυργίας, καὶ διαπρύσιοι τῆς Θεομήτορος κήρυκες, ἐμπαμπεύοντες, ὡς ἄντις εἴπη, τῇ θεωρίᾳ καὶ ἀγαλλόμενοι, ὅτι δὴ ἐξυπηρετῦνται τῇ Θεομήτορι· τοῦτο γὰρ αἱ ψηφίδες ἐπὶ τοῖς προσώποις ἀγγέλλεσιν, ἱλαρὸν αὐτοῖς ἐπανθῆσαι, ἢ μᾶλλον δ' ὡς εἰκάσαι προσφέροντες, ἢ λαμβάνοντες χάριτας· αἱμόῤῥοον μὲν οὖν ἐκείνην λόγος, ἐπὶ σήλης πρώτην ἀναγεῖραι τὸν εὐεργέτην, χαλκῷ ἐς κάλλος ἀνδριάντος διαχυθέντι, ὅσον ἦν ἐκείνῳ θεανδρικῆς ἀναδρομῆς ἐκμετρήσασαν. ἀλλὰ καὶ ἡ βασιλὶς αὕτη πρώτη, τὴν ἐκείνε θεανδρικὴν εἰκόνα, καὶ τῆς αὐτὸν τεκύσης καὶ εὐεργέτιδος, ἐκ τᾶ μέσα τῇ αἱρέσει γεγεννημένας, πάλιν ἀνίςησι· καὶ αὐτὴν δὲ τῷ ταύτης νεῷ συνανίςησι· διὰ μὲν τῶν πέπλων, τὴν τᾶ χρασπέδα ἀφὴν, ἠρέμά πως διαγράφουσα· τῷ δὲ ἀλυργῷ τῆς βαφῆς, τὴν αἱμόῤῥοιαν εἰκονίζουσα. Παρήτω καὶ βασιλὶς ἑτέρα, τῇ τῶν ὅλων βασιλίδι συγκροτᾶσα τὸν ἔπαινον· Θεοδώρα ἡ βασιλὶς, ἧ ἀνὴρ μὲν ὁ ἄναξ Θεόφιλος· ὀρθοδοξία δὲ αὐτῇ τὸ ἐπίσημον. ταύτῃ θυγάτριον ἦν ἀςεῖον τὸ εἶδος καὶ εὐφυὲς, ἄλλως δὲ αὐτῇ, τῶν ἄλλων παίδων κατάκρως πεφιλημένον, Θέκλα τῷ κορίῳ τὸ ὄνομα· τούτῳ τοίνυν μετὰ τὴν τῆς δυσσεβείας κατάλυσιν, πυρετῶν ἐσμὸς ἀτακτῶν ἐπεισέφρησε, λάβρως αὐτὸ διακαίων· ἐπὶ τόσον δὲ τὰ ἔνδον ἦν πυρπολῶν, ὡς ἀδ' ἀναχέσθαι χεῖρά τινα θεῖναι, τῷ ἐπιπολάζοντι ἔξωθεν. χρόνε τοιγαρᾶν ἐπιμετρηθέντος τᾴτῳ συχνᾶ, ἐπὶ ταῖς τῆς μητρὸς εἰσαγήσεσι, καθάπερ ἔλαφος πρὸς τὴν τῆς Πανυμνήτε πηγὴν ἐπεπόθησε διελθεῖν, σβέννυσι μὲν παραυτὰ τὴν καταπιμ-

Θαῦμα ζ.

πιμπρῶσαν ἐξεπίτηδες κάμινον· νάρκην γὰρ αὐτίκα τὸ πάθος ἐνδύεται, καὶ μαρανθὲν διὰ τῶν πόρων ἐξίσαται, τῷ σβεσηρίῳ τῆς Θεομήτορος ὕδατι, καὶ διαγέγονε τὰ λοιπὰ πρὸς εὐκρασίαν μεταχωρήσασα· ὅθεν ἡ Θεοδώρα ἀντευχαριςᾶσα, ὥσπερ καὶ ἀντιφιλοτιμεμένη τῇ Θεομήτορι, πλεῖσα τῷ τεμένει ταύτης ἐπεβράβευσε, χρυσαῖς σφραγῖσι ταῦτα ἐξασφαλίσασα. Προσκείσθω τοῖς λοιποῖς, καὶ τὸ κατὰ τὸν πρωτοσπαθάριον γεγονὸς ὑπερβαῖνον πᾶσαν φύσιν τεράσιον. ἦτος τὰ ἔνδον ὑπόπυρος γεγονὼς, οἰδήματά τινα τοῖς ἐγκάτοις ἔσχεν ἀνῳδυκότα. πεπανθέντα τοίνυν ἐκεῖνα τῷ χρόνῳ καὶ κάυσωνι, εἶτα καὶ ἀμηγέπη ἀπορραγέντα ἕλκη ἀνέβρυον, δυσειδῆ καρπὸν καὶ ἰλίγγε πλήρη κατὰ τᾶ σόματος ἀναβλύζοντα, ἔνθεν καὶ τὸ πύον ἐκρέον, ὀδύναις ἐδίδε τὸν ἄνδρα δριμείαις, διεφθορότων αὐτῷ τῶν μελῶν. ἐπίσης δ' αὐτῷ εἶναι ἀποκεκλεῖσθαι σιτίων καὶ πόσεως, καὶ μὴ δ' ἐλευθέρως ἔχειν ἀναπνεῦσαι, καὶ νεαρῷ τῷ ἀέρι καταψύξαι τὰ ἔνδοθεν, ἅτε δὴ τᾶ πύε ἐμφραγνύντος τὰς τᾶ πνεύμονος σήραγγας, καὶ ἐς μέγα ἐπεχώρει τὸ ἄλγημα. τὸ γεμὴν δυσῶδες ταῖς βραχείαις ἐκείνε πνοαῖς ἐποχέμενον, μή τοι γε βδελύττεσθαι παρεῖχε τὸν προσιέμενον, ἀλλὰ καὶ αὐτὸν ἐκεῖνον, τῷ ἄθματι τῆς σαπρᾶς ἀποφορᾶς ἐκείνης τὴν ὄσφρησιν διοχλέμενον, οὐκ ἧττον αἰτεῖσθαι ἀνάῤῥωσιν, ἀλλὰ χάριν ἔχειν, καὶ εὐχῆς ἔργον πράττειν, εἰ τάχος ὅσον ἀπηλλάχθαι τᾴτῳ γένοιτο τῆς ζωῆς. ἐκ πολλᾶ γᾶν παρὰ ταῖς διεξόδοις τῶν ὑδάτων τῆς Θεομήτορος ἐκριφεὶς, ἐτρύχετο μὲν ἀεὶ, καὶ ἐςροβεῖτο τὰ ἔνδοθεν, εὐχαῖς γεμὴν προσκείμενος ἦν, ἢ ἐπαπολαῦσαι τᾶ ἤδοντος, ἢ μὴ ἐπὶ τόσον τρύχεσθαι τῷ νοσήματι· ἐπίσης γὰρ αὐτῷ τόν τε θάνατον ἐράσμιον εἶναι, καὶ τὸ ἀπολιπὸν τῆς ὑγείας ἐπανακτήσασθαι· καίποτε πρὸς ὕπνον τραπεὶς, γυναῖκά τινα κοσμίαν

Θαῦμα η.

ἐδό-

ἐδόκει ὁρᾶν, ὑπὸ σεμνῷ καὶ ἐυειδεῖ τῷ καταςήματι, εὐμαρῶς περιϊϋσαν τὸ τέμενος, παρ' ἑκάτερα δὲ γεραρώτινες δύο ἐώκεσαν αὐτῇ συμπεριπολεῖν, ἱλαρῷ κεχρημένοι τῷ περιπάτῳ· Γρηγόριος δὲ καὶ ἀμφοτέροις ἡ κλῆσις· τῷ μὲν γὰρ λόγοι καὶ θεολογία, θατέρῳ δὲ τεράςια τὰ γνωρίσματα· ὧν ἄτερος καὶ σκύφον ἐδόκει ταῖν χεροῖν περιφέρειν, πολυταλάντε ὁλκῆς. ὡς γᾶν ἁπανταχᾶ προϊόντες, καὶ ἐπὶ τόν δε τὸν σπαθάριον παρεγένοντο, ἱκέτις τῶν ἀρχιερέων ἡ δυὰς γίνεται ἐν κατεσαλμένῳ, καὶ σεβασμίῳ τῷ ἤθει, χεῖρα τῷ ἀσθενοῦντι ἐγκαίρως ὄρεξον Δέσποινα λέγουσα. ἡ δὲ τῷ θεολόγῳ, τῶν ἐν χερσὶ μετάδος ἐπαπολαῦσαι φησὶ, καὶ ὃς ἐποίει τὸ κελευσθέν· προκύψας γὰρ ὡς βραχύτι μεταδιδόναι τάτῳ ἐώκει τᾶ πόματος· ὃδ' ἀσθενῶν ὕδατος εἶναι ψυχρᾶ, καὶ τὴν γεῦσιν ἡδέως ἐνόμιζε τὴν κατάποσιν, καὶ παραυτὰ τῆς ὑπερβαλλούσης σε χάριτος Ἀειπάρθενε, ῥάονος ἤσθετο ἑαυτᾶ, καὶ ἀδέν τι ἦν τᾶ λοιπᾶ μεθέλκον τὴν ἀναχώρησιν. τᾶτο τῶν ἄλλων θαυμάτων παραδοξότερον. τῶν γὰρ σεσημμένων, καὶ διεφθορότων μελῶν, ἐν κρυφῇ καὶ ταῦτα, ἀθρόον τὴν ὑλὴν ὑποςῆναι, ὕδατος ὄντος τᾶ ταῦτα ξηραίνοντος, εἰς ὑπερβολὴν ἀδενὸς ἀπολείπεται· ἀλλ' εἰ μὲν ἑτέρῳ πράττειν ἐνῆν, ἴσως ἂν καὶ τὸ ξενίζον μάλα προσῆν· νυνὶ δὲ ὅσῳ μᾶλλον παρεξετάζεται, τοσᾶτον ἐν δευτέρῳ συμβαίνει εἶναι τῇ Θεομήτορι.

Θαῦμα ε'. Ἄξιον δὲ μηδὲ τᾶτο παραδᾶναι σιγῇ, τοσᾶτον τῶν εἰρημένων ἐλαττον, ὡς' ἐκ οἶδα, εἰμὴ καὶ τὸ πρωτεῖον ἄροιτο κατὰ πάντων· ὃ δὴ παρισᾶν πάντως ἔχει, ὡς καὶ αὐτῇ δυναμένῃ ἐςὶ, κατὰ τὸν ὑὸν καὶ Λόγον, καὶ νεκροῖς τὸ ζῆν ἐπιπνέειν, καὶ τῶν τάφων ὄντως παρασκευάζειν ἐξάλλεσθαι. δοτέον τοίνυν τῷ λόγῳ τὰς ἀκοὰς, ἵνα μήτι τῶν ὑφερπόντων παραπεσὸν, ὑπερφυᾶς ὑμᾶς σερήσειε διηγήματος, ἀνδρί τινι θετταλῷ, ἔρως ἐξέτι νέᾳ παράδοξος γίνεται,

ται, παρὰ τὴν Ἱερὰν, καὶ θείαν γεγονότι πηγὴν, τὸν πόθον ἀφοσιώσασθαι. ἥτε γὰρ φήμη τῶν ἐν αὐτῇ τελεσμένων περιήχει τὰ ὦτα, καὶ ἄλλως, ἐκ οἶδ' ὅπως, ὑπερχυμένος τῇ θεομήτορι, ὅρκῳ τὰ τᾶ πράγματος ἠσφαλίσατο. ταῖς γεμὴν τᾶ βίᾳ φροντίσι, καὶ περισάσεσιν ἐμποδέμενος, ἄλλως τε καὶ ὑπὸ τᾶ πονηρᾶ πνεύματος ἐνεργέμενος, ἀναβολῇ τὸ πρᾶγμα ἐδίδε, καὶ ἡμέραν ἐξ ἡμέρας προθεὶς, ἔλαθε τὸ πολὺ τᾶβίᾳ ἐξηνυκὼς, ἐπὶ διακένοις ταῖς ὑποχέσεσιν. ἀλλὰ καιρῷ τινι πᾶν τὸ προσισάμενον ἀποτιναξάμενος, καὶ πλόιῳ ἄττα τῶν ἀναγκαίων ἐνθέμενος, τὴν εὐθὺ τῆς Κωνσαντίνε ἔπλει, τῶν οἴκοι ἀφροντισήσας. ἐν μέσῳ τοίνυν τῷ πλῷ, τὴν πρὸς θάνατον ἀσθενήσας, ἐπεὶ κατὰ τὸ, ὃ καλεῖται ἀθύρας, προάςειον γίνεται, ἐκεῖσε δὴ τῷ πλοίῳ ἐλλιμενίσαντι, ὁ θετταλὸς ἐκεῖνος ἀνὴρ τᾶ βιωτικᾶ κλύδωνος ἀπανίσαται, διαμετρηθείσης αὐτῷ τῆς ζωῆς. ἔτι δ' ἦν τᾶ πνεύματος ἐν βισὶν ἐφιζάνοντος, ἀραῖς ταῖς παλαμναιοτάταις τὰς συμπλώτας κατησφαλίζετο, καὶ κατὰ τῆς πηγῆς τῆς Θεομήτορος ἐμπεδῶν ἦν, μήτι τῶν ὅσα ἔθος ἐπ' αὐτῷ διαπράξασθαι μετὰ μόρον; πρὶν ἢ παρὰ τὴν ζωηφόρον ἀγαγόντας πηγὴν, τρὶς ἐπιχέαι τάτῳ καθ' ἅπαντος τᾶ σώματος, κατὰ σχῆμα τεταμμένε γυμνᾶ, μεθ' ὃ ἀντλεῖν ἔθος τᾶ ἁγιάσματος, κάδδε ἄτω καλεῖν ἔθιμον τῷ χυδαίῳ πληρώματι· τότε γὰρ φησι καὶ ὁ χῶρος ἐκεῖνος ἐμοὶ γενέσθω ταφὴ, ταῦτ' ἐπισκήψας τοῖς συννάυταις, ὤχετο ἀπιών· οἷ' ὡς πλησίον ἐγένοντο, τὸν τᾶ θετταλᾶ νεκρὸν τοῖς ὤμοις διαβαςάσαντες, παρὰ τὸν νεὼν γίνονται· τᾶτον δὲ πρὸς τῇ φιάλῃ, ὅπεθὴ καὶ ὁ τᾶ μάρτυρος Εὐςρατίε ναὸς θέμενοι κατὰ νώτε, ἀμφεπονᾶντο ὅσα δὴ ὁ τελευτήσας τάτοις ἐπέσκηψεν. ἀμέλει καὶ τῶν ἀμφίων τὸν νεκρὸν περιδύσαντες, ἐπέχεον τάτῳ τᾶ ὕδατος· φρίτω δὲ τοῖς ἑξῆς προσ-

βάλλων τᾶ διηγήματος· ὡς τὸ γὰρ τελευταῖον καὶ τρίτον ἄντλημα ἐπεκέχυτο, τηνικαῦτα ὥσπερ ψυχήτις τάτῳ τὸ ὕδωρ ἐγίνετο, ϗ ἀναπηδήσας ἔζη, πᾶσι καταφανὲς γενόμενος θέαμα. ἐπὶ πλεῖζον μὲν ἀγνοούμενος, φάσμα γάρτι ἐῴκεσαν καθορᾶν· ἐπεὶ δὲ καὶ τοῖς σχήμασι, ϗ τοῖς πράγμασιν εἰς πίζιν αὐτὲς ἐνῆγε περιχυθέντες τάτῳ, ἠλάλαζον ὑπέραγαν τὴν ζωηφόρον ὄντως πηγὴν μεγαλύνοντες. ἆρα τίς φαίη τᾶτο, τᾶ κατὰ τὸν Λάζαρον ἐνδευτέρῳ κεῖσθαι; πολλᾶ γε καὶ δεῖ· πλὴν ὅσον ἐκεῖνον δάκρυον καταῤῥέον, ϗ φωνῆς ἐμβρίμησις διανίζησι τεταρταῖον ἀναδορόντα καὶ ὀδωδότα, τῷ δὲ, ἀδάκρυον καὶ φωνὴ, ἀλλ' ἠχὼ πηγῆς ἀειζόα τριττὴ, τὸ ζῆν ἐπιπνεῖ. καὶ τό γε πρὸς ἔκπληξιν ἶσον, ὅτι τάτα μὲν ἡχρισᾶ μήτηρ δημιργὸς, ἐκεῖνο δὲ, χρισὸς ςαύτης ὑὸς διεπράξατο, ἐκείνης ὥσπερ εὐδοκήσας γενέσθαι, ἄτω καὶ τὰ ἴσα πράττειν, κατ' αὐτόν γε ἐκεῖνον ἐφείς. ὁδὲ, τῶν μεγίζων ἠξιωμένος ἑτοσὶν ἀνὴρ θετταλὸς ἀκριβωσάμενος τὸ τεράζιον, εἷς τῶν τῆς μονῆς γίνεται τὰ μοναχῶν τελεσθείς, ϗ θεοφιλῶς τὸ λεῖπον διανύσας τε ζῆν, ἐν ἀρίζῳ βίῳ πρὸς θεὸν μεταβαίνει, ϗ νῦν ἐν ταῖς εἰσόδοις πρόκειται τᾶ νεὼ, τῷ καλύπτοντι λίθῳ τὸν τάφον ἀνακηρύττων τὸ θαῦμα, ϗ νέκυς κεντόρειον. ϗ μηδεὶς ἴσως ἀπιζείτω· ἀδὲ γὰρ ὅσιον περὶ τοιάτων διηγημένῳ. εἰ γὰρ σκιαὶ, ϗ σαβάρι ἄττα τῶν ἀποζόλων ὑπηρετεῖ πρὸς ἀνθρώπων ἀνάπλασιν, πᾶ δίκαιον, μὴ τῇ τᾶ θεᾶ μητρὶ τὸ πλεῖον ἐθέλειν βραβεύειν, ϗ τῶν μεγίζων παραχωρεῖν, ἀσυγκρίτως ὑπερκειμένην ἐφ' ἅπασιν. ἀλλὰ τᾶτο μὲν τοιᾶτον· ἐκδέχεται δὴ τὸ μετὰ τᾶτο δεῖξαι, πῶς ποτε ἄρα προνοίας ἔχει περὶ τὸν ἑαυτῆς οἶκον ἡπάναγνος. Τιμᾷ γὰρ αὐτὸν ὁμόνον οἷς ἀεὶ διαγέγονε τὰ ἡμέτερα εὖ πράττοσα, ἀλλὰ καὶ τῷ μηδενὶ λύπης αἰτίαν ἐντεῦθεν γενέσθαι παρασκευάσαι, τὴν καθάπαξ

Καὶ Α. Θαῦμα ί.

θάπαξ χαρᾶς γενομένην διάκονον· πῶς γὰρ ἥ τοσᾶτον εὐεργεσίας περίεσιν, ὡς μηδενί ποτε λυπηρὰν ὀφθῆναι θελῆσαι, ἐνὸν κἂν τάτοις εὐεργετεῖσθαι πολλάκις, ἀλλ' ὁμοι λέγειν ὡρμημένῳ ἔζη τῷ λέγειν. Σείει πολλάκις τὴν γῆν ὁ θεὸς ἡμῖν ἐκτόπως σαλευομένοις, ἐπ' ἀσφαλᾶς ἑσάναι κρηπῖδος εὐεργετῶν, ϗ μὴ τᾶ καθεζηκότος ἐκφέρεσθαι. ἴσως δὲ καὶ τᾶ δέοντος ἐκτρεπομένοις, ϗ διαῤῥέζασι πρὸς τὰ χείριζα, τῷ ἀφεζάναι θεὸν φοβεῖσθαι, ἐπὶ τὰς χρηζοτέρας ἐπανάγων τῶν ἕξεων διὰ τᾶ τρόμα τῶν ἀψύχων ἡμῖν παρέχων συναίσθησιν. ἐπιβλέπει μὲν οὖν πρὸς τὴν γῆν, ϗ αὐτίκα τρόμος αὐτὴν λαμβάνει, τῇ ἐποπτείᾳ τᾶ κτίσαντος, φεύγεσαν δῆθεν ἐξαπίνης καὶ ὑποσελλομένην. τᾶτο δὲ ἐκ ἔξω τῶν ὅρων πάχει τῆς φύσεως, τῶν ἐπ' ἀδενὸς ἑδραζόντων ταύτην ἐν ἀσφαλεῖ. . . . . πνεῦμα δὲ ταῦτα ϗ ὕδωρ, ϗ αὐτῶν ἐπειγομένων τῷ φόβῳ ἀναχωρεῖν, ϗ ὑπεξισαμένων ἀθρόον τῷ νεύματι. ἡδὲ τάτων θορυβαμένων, ποτὲ μὲν παλλομένη, ἀνατινάσσεται, ϗ εἰς τὰ πίσω χωρᾶσα, τοῖς ἔμπροσθεν γίνεται, ϗ ῥοπῇ μιᾷ τὰ κύκλω περίεσιν· ὅθεν καὶ τεμένη θεῖα πολλάκις κατασειθέντα, ἐξ αὐτῶν ἀνετράπη τῶν βάθρων, ϗ τῶν κειμηλίων, ἅττα διέφθορεν· ἃ δὲ γὰρ τάτων χρεία θεῷ, ὑπὲρ τὸ πᾶν εἶναι διεγνωσμένῳ, ὅτε μὴ δὶ ὃν ταῦτα, τὸν οἰκεῖον κόσμον ἀπολαμβάνει καὶ μέγεθος. ἄλλοτε, τὸν κάτωθεν καχλάζει ϗ ἀναβράσσεται, ὅθεν ϗ πηγὰς πολλάκις ἀνίησι, ϗ βόθροις ἔζιν ὅτε συγκαταςπᾷ τὸ ἀγχίθυρον, ϗ πολλοῖς ἐξ ἐρειπίων τάφος ἐχεδιάσθη, συγκατεσπάσθησάντε τοῖς χάσμασιν ἕτεροι, ϗ συχναὶ πόλεις εἰς ἅλμην μετεσκευάσθησαν, ἴσως ϗ πράττειν εὖ ἠρημέναι. ἀπεναντίας γὰρ ἰόντος ἔξωθεν πνεύματος, ϗ συνωθοῦντος τὸν ῥᾶν, τὸ μὲν πνεῦμα ὑπὸ γῆν ἔδυ, ὁ δὲ εὐθὺς ἀνατρέχει, τᾶς ῥοᾶς ἀθρόας ἐπιχυθείσης. ἔμελλε τοίνυν σείειν

τὴν

τὴν γῆν ὁ θεὸς, εἴπέρ ποτε, συμμετέχειν δὲ καὶ τὸ εἰς εὐεργεσίαν ἀνειμένον τῇ θεοτόκῳ μέγιστον τέμενος, τῆς ἐκ Κυρίε ὀργῆς. πολλᾶ δὲ πλήθες τοῖς θαύμασιν ἐπιῤῥέοντος, καὶ ταῖς ἐκεῖσε διατριβαῖς, ὑπὸ χρησαῖς ταῖς ἐλπίσιν ἀπανταχᾶ τᾶ θείε τεμένους περιϊόντος, ἵνα μή τινι συμπεσῶν ὁ νεὼς ὄλεθρος γένηται, σκοπεῖν ἀνάγκη, ὅπως ἡ Θεομήτωρ ἄριστα διεσκεύασε· σαββά τε μὲν γὰρ τὰ πρὸς ἑσπέραν ἤδη ἐτετέλεστο, μοναχῷ δέ τινι τῶν σεμνῶν, ἐξ ἔθες ἦν πρὸ τῶν πυλῶν τᾶ νεὼ ἐπὶ σκίμποδος ἀναπάυεσθαι, ὡς ἄν ἐν ἑτοίμῳ εἴη αὐτῷ, θᾶττον ἁπανταῖν πρὸς τὴν σύναξιν, καὶ μὴ ταῖς κατὰ μικρὸν ἀναβολαῖς, πρὸς τᾶ πονηρᾶ παρακλέπτεσθαι, ὅσπερ δῆτα τρόπος ἐκεῖνε, καὶ μάλα τοῖς ὕπνοις ἡμῖν ἐμφανίζοντος, καὶ τοῖς ἀτόποις τῷ νῷ διδόντος διατριβὴν, ἐν τῷ ἥδεσθαι. τάτῳ ἦν ἔτως ἐπὶ ξηρᾶ μαλθακῷ ἐφειμένῳ τῷ ὕπνῳ, ἐδόκει ὁρᾶν γυναῖκά τινα τῶν ἐπιφανῶν, ὡς εἰκάσαι ἦν τῇ καταζολῇ καὶ τῷ σχήματι, πορφύρα γὰρ αὐτὴν ἐνεδίδυσκεν, ἐς πολυτέλειαν βασιλίδι ἁρμόζουσα, καὶ ἡ βάδισις ὑπερφυής τις, καὶ λίαν διαπρεπὴς ἐῴκει, ταύτην δὲ πρὸς ταῖς μέσαις τᾶ θείε τεμένες πύλαις ἑσῶσαν, ἅπαντα τὸν χῶρον ἐκεῖνον τῷ μεγέθει διαλαμβάνειν. ἡ κεφαλὴ μὲν γὰρ αὐτῆ, τῷ ὑπερθύρῳ τῆς φλοιᾶς ἐδόκει σηρίζεσθαι. ἐπ' ἐδάφες δὲ τὰς πόδας ἀσφαλῶς ἠδρᾶσθαι, ἑκατέρᾳ δὲ παρασάδι τὰς χεῖρας εὐφυῶς διαπεταννῦσαν κατὰ σχῆμα εὐχομένων, δεῖσθαι θερμότερον. καὶ ἀνδρῶν δὲ σῖφος, εὐνέχοις δὲ ἄρα εἰκάζοντο, σολὴ γὰρ τάτας ἐκόσμει ὑπερφυεῖ τῷ λευκῷ ἀπασράπτουσα, κύκλῳ τὸν νεὼν περιῆγον, κεράμια ληκυθίοις προτεοικότα ταῖν χεροῖν περιφέροντες. τὰς ἐξ ὑέλε φωταγωγὰς τᾶ ἐλαίε ἐπίμπλων, τὴν δ' ἐς ὑπερβολὴν θαυμασίαν ἐκείνην, σχολαιοτέρῳ βαδίσματι μεταβᾶσαν ἐκεῖθεν, πρὸ τῶν ἀδύτων γενέσθαι τᾶ Ἱερᾶ ἕ ὀχῶρος τῶν ἄλλων

λων ἐσίν ἀβεβηλότερος, κἀκεῖσε τοῖς ὁμοίοις ἐγκεῖσθαι ὡς δοκεῖντε ἀγωνιᾶν, καὶ ἱδρῶτι περιῤῥεῖσθαι συχνῷ, τῆς φιλανθρωπίας τὸ πέλαγος, εἶτ' ἀνάπόδα μικρὸν γενομένην, φωνῆς μεταδεδωκέναι τῷ μοναχῷ, ὅσον λέγεσα τάχος, συνεφαπτομένης σπαθῆς, τὸ τῆς συνάξεως ξύλον ἀνακροτήσαντες, τὰς ἐξ ἔθες ὠδὰς σὺν εὐχῇ συντόνῳ θεῷ ἀναπέμψατε. μετὰ βραχὺ γὰρ τὰ ἐνταῦθα ἐπισκοπῇ πονηρᾷ ἐπισκέψεται Κύριος. παντάπασι μέντοι, ἀποκεκλείσθω παισὶν ἀώροις, καὶ ἀποδιδράσκειν ἥκιστα ἱκανοῖς ἀνδράσιν, ἅτε νόσῳ κατειργασμένοις, ἡ εἴσοδος. ἐπεὶ δ' ὁμονάζων τᾶ ὕπνε ἐλύετο, καὶ καθὼς ἡ ὄψις ἤγγειλε διεπέπρακτο, ὡς πρὸς τῇ βδόμῃ τῶν ὠδῶν τὰ τῆς εὐχῆς προεχώρει, καὶ ὁ πεντηκοστὸς μετὰ τᾶ συνήθους ἄσματος ἐξυφαίνετο, ἐπεισπίπτει μὲν βαγδαῖος εὐθὺς ὄσεισμὸς, μέγιστον ἐπηρμένος τὸν κίνδυνον. πάντων ἓν πρὸς φυγὴν ἀπιδόντων, τὸ γὰρ ἥμισυ τῆς σφαίρας τῆς ὁλομελείας διερῥωγὸς κατεφέρετο, τὰ κύκλῳ πάντα συνεπισπώμενον, εὐθὺς αὐτόμαται μὲν αἱ πύλαι πᾶσαι τῆς ἐκκλησίας ἀοράτῳ δυνάμει, τῶν κλειθρων διαῤῥαγέντων ἀνεπετάσθησαν, ἀσφαλῶς ἐνειρμέναι τὸ πρότερον. κατ' εὐθύ τοίνυν αὐτῶν προχυθέντες τὸ πλῆθος, ἀριθμᾶ κρεῖττον ὄν, ἐξεφέρετο· τὸν γὰρ περὶ ψυχῆς τὸ καταπίπτον ἀνέσειε κίνδυνον, μηδενὸς τῶν ἁπάντων λυπηρᾶ τινος ἐν πείρᾳ γεγενημένε, πλὴν τᾶ εὐλαβᾶς ἐκείνε παιδίε, ὃ ἀνδράποδόν τινος τεχνίτε ἐτύγχανεν ὄν. φωνῇ γὰρ βροντώσῃ, πρὸς δὲ καὶ ὄψει ἀσραπῆς κρείττονι τῆς Θεομήτορος, τὸ φωνητήριον πηρωθέν, ἄφωνον ἔκειτο. τᾶ γὰρ ἡμισφαιρίε καταφερομένε ὡς εἴρηται, ἐκεῖνο πρὸς τὸν δεσπότην ὁρμῆσαν γενέσθαι, γυναίῳ ἐντυγχάνει πρὸ τῶν βασιλικῶν ἐσῶτι πυλῶν, πρὸς εὐχὴν τὰς χεῖρας μετὰ δακρύων διαίροντι. ἥτις δὴ κινεμένῳ τῷ νεανίσκῳ, σῆδι, μὴ πρόσω βαῖνε,

γεγω-

γεγωνότερον ἀνεβόησε. τῷ ἐξαισίῳ τοίνυν τῆς βοῆς ὁ νεανίσκος ἐμβρόντητος γεγονὼς, καταπίπτει πρὸς τὰδαφος, τὸ φθέγμα σβεσθεὶς, τῷ τᾶ φθέγματος τῆς Θεομήτορος ὑπερβάλλον τι· καὶ τρίτον ἥμαρ ἅτως ἐπεμετρήθη ἔχοντι τῷ παιδί. ἀλλ' ἐς ὕσερον τῆς τᾶ λόγυ μητρὸς, τὴν γλῶτταν ἀναῤῥωσάσης αὐτῷ, καὶ πηγασάσης τὸ τᾶ λόγυ ῥεῦμα, τῇ γλυκίῳ μέλιτος ῥεύσῃ ταύτης πηγῇ, ἐπεὶ πρὸς τὴν προτέραν ἕξιν μετελήλυθη, τήν τε ὄψιν ἅπασι διηγήσατο, καὶ ἀνεῖπεν, ἅπερ ἤκουσε, γλῶσσαν πρὸς δόξαν ἐγείρων τῆς Θεομήτορος. τὸν δὲ δὴ νεὼν ἅτω κατασειθέντα, καὶ διερρυηκότα, τῷ ἐκ μακεδόνων βασιλειῳ πρὸς
Θαῦμα ιά. βελῆς γίνεται. Οὗτος γάρ τηνικάδε τὰ τῆς βασιλείας σκῆπτρα διεχειρίζετο, ἐξ αὐτῶν κρηπίδων ἀνατρέψαι, καὶ παραλύσαι τὸ τέμενος, πρὸς τὸ μεῖζοντε καὶ ἀσφαλέσατον μετασκευασαμένῳ ἐς φιλοτιμίαν βασιλεῖ πρέπουσαν, ἀναγεῖραι αὖθις. πρός τινων δὲ τῆς ὁρμῆς ἀναχαιτισθεὶς, καινίζει μὲν, ἅπαν τὸ κατεσπαραγμένον, καὶ ἀνορθοῖ. τὸ δὲ ἡμισφαίριον, τέχνῃ λιθοδόμων ἐναρμοσάμενος, εἰς τὸν νῦν ὁρώμενον μετήνεγκε κόσμον τὸ ἀσφαλὲς αὐτῷ πρυτανεύσας. ἐπεί δε τὰ τῆς οἰκοδομῆς αὐτοῖς εἰς πέρας ἐγίνετο, καὶ βραχὺ τᾶ χρόνυ διαλυπόντος, ὡς ἐκτακῆναι μὲν τὸ ὑγρὸν καὶ ἀπολωφῆσαι, ἐν ἐπιτηδείῳ δὲ γενέσθαι, καὶ τὸν ἔσωθεν διὰ λεπτῶν ψηφίδων κόσμον εἰσδέξασθαι, κλίμακας ἐξ ἐδάφυς μέχρις ἐς τὴν ὑπερβολὴν σανίσιν ἄλλαις ἀναλόγως ἐνθέμενοι, ὡς ἂν τοῖς ἰσορεῖν εἰθισμένοις εὐέφοδον εἴη ἐντεῦθεν χρώμασι, καὶ χρυσῷ κατακεχυμένῳ τὸ ἐνδέον ἀναπλῆσαι, καὶ ἅτως ἐναβρύνειν τὸ τέμενος, ὑλῃπαντοίᾳ καὶ τέχνῃ ὡραϊζόμενον. τῆς ἑορτῆς ἤδη ἐκτυπώτερον διασκευαζομένης τῆς καθόδυ τᾶ πνεύματος, καὶ ταῖς ποικίλλαις ἐξαλλαγαῖς τῶν ἐν ταῖς ψηφίσι χρωμάτων σεμνυνομένης, τηνικαῦτα τὰ βάθρα τῶν σύλων ἀπαγορεύσαντα

σαντα πρὸς τῶν ὑπερκειμένων τὸ μέγεθος, χαλῶντα τὸν ἔυτονον, διελύοντο, ἡ δ' ἐπισκευὴ ἐκείνη πανταχόθι διαῤῥαγεῖσα, πρὸς τὰ κάτω ὑπείγετο, οἱ γεμὴν εἰκονισαὶ, καὶ ζωγράφοι, καὶ ὅση περὶ ταῦτα διεπεπόνητο χεὶρ ἀθρόον ὁρῶντες ἐπισάντα τὸν ἄφυκτον κίνδυνον, πάντα θέμενοι ἐν δευτέρῳ, πρὸς τὴν μόνην ὑπολελειμμένην ἐλπίδα τὴν Θεομήτορα γίνονται. καὶ ἐπεὶ τὸ πάναγνε θεοτόκε βοήθησον ἅτωσὶ, μιᾷ γλώττῃ πάντες ἐφώνησαν, θερμὰ τῶν ὀφθαλμῶν, καὶ δάκρυα προϊέμενοι, εἷς τῶν τοιέτων, ᾧ θέμις ἦν τὰ τοιαῦτα ὁρᾶν, ὑπερκύψας τοῖς κάτω, αὐτὴν ὡς εἶχε σχήματος ἑώρα τὴν Θεομήτορα, ἀναῤῥιχωμένην τᾶ ἄμβωνος, καὶ ἐς τὴν ὑπερβολὴν αὐτᾶ διαβάσαν, χερσίν ἐς μῆκος ἐκτεταμέναις, τὸ καταφερόμενον ἐκεῖνο σύμπαν τῶν κλιμάκων διαβαζάζειν ἀνέχουσαν, καὶ ἠρέμα ἐνδιδοῦσαν τῷ βάρει, μὴ αἴφνης ἐῶσαν καταῤῥαγῆναι, καὶ συγκαταῤῥάξαι τὸ ἐποχούμενον. καὶ τᾶτο ἦν ὁρᾶν οὐκ ἀνιδρωτὶ διενεργυμένην, ἕως ἔ, ὡς ἐφ' ὁμαλᾶ, καὶ λείᾳ, καὶ οἱονεί τινος μαλακῆς πόας κατακλιθέντας τῷ ἐδάφει τὰς ἄνδρας παρέπεμψε μηδενὸς καθοιονδήποτε τῶν μελῶν πεῖραν ἐγνωκότος, τᾶ ὀλίβοντος, καὶ ταῦτα τηλικέτᾳ γεγονότος συμπτώματος. ἔτι γὰρ ἐκείνοις τὴν ἐπικρίαν ἐκκαλυμένοις, πάρῃν, καὶ τὸ κατάῤῥοπον ἀνεκάφιζε, νᾶ ταχύτερον ἐπιφθάνουσα. ἅτως ἀεὶ καὶ πᾶσι μὲν δεομένοις ἐπιφθάνει τὴν αἴτησιν πανταχόθι, μάλιστα δὲ τῷ οἴκῳ ταύτης ἐπιφοιτᾷ, ὥσπερ ἐπαγαλλομένη τῷ χώρῳ, ὅθεν καὶ ἡ τῶν θαυμάτων διαῤῥέει πλημμύρα ἑκάστοτε. Οἷον δὲ καὶ τᾶτο τῶν Θαῦμα
λοιπῶν πρὸς ἔκπληξιν οὐκ ἀπεοικὸς, ἐκκείσθω τῷ λόγῳ, ιβ'.
ἅμα μὲν ἡδονῆς καὶ χάριτος ἔμπλεων, πίζιν δ' ἐν τεῦθεν ἀβραχεῖαν τεκμηριώσασθαι ἔνεστιν, ὅπως ἡ τᾶ θεᾶ μήτηρ διαγέγονεν ἐπιφοιτῶσα τῷ τόπῳ, καὶ ἀποσόργως ἔχουσα, διατρίβειν ἐτέρωσεν, ἐς τὴν πρὸς ἕω τετραμμένην ἀψίδα

πρινή-

πρινὴ πεπονηκότα καταπεσεῖν τῶν νεῶν, εἰκόνες ἦσαν ταύτῃ διτταὶ ἀχρώμασι, καὶ κηρῷ ἐκτακέντι καὶ διαχυθέντι ὡραϊζόμεναι, ἀλλ' εὐθέτῳ ψηφίδι ἐμπαγείσῃ ἀναπληρώμεναι. ἡ μὲν πρὸς ἐμφέρειαν ἀκριβῶς τὴν Θεομήτορα εἰκονίζουσα. ἑτέραδὲ, τῷ πρωτοσάτῃ ἀνεῖτο τῶν ἄνω δυνάμεων Γαβριήλ. πνεύματος δὲ ἄρα χάρις ταῖς μορφαῖς ἐμφιλοχωρήσασα, ἐνεργεῖν ἐποίει τεράστια. αὗται δὲ τοῖς λοιποῖς συμπεσοῦσαι, ἀμόνον ἐδὲν ἐφάνησαν πεπονθεῖαι, διαῤῥυεῖσαι, καὶ τῷ ἀρχετύπῳ παρεκτραπεῖσαι, ὥστε καὶ εἰς δεῦρο ἔτι διαφαίνονται τὸν ἀρχαῖον τύπον ἐξεικονίζουσαι· καὶ ταῦτα τῶν ἐφ' ἃ ἱδρῦσθαι πρώην συνέβαινεν, ὀπτὴ δὲ πλίνθος τῷτο καὶ τίτανος, εἰς λεπτὴν κόνιν τῇ συμπτώσει διαλυθέν των. ταύτας τοίνυν μετὰ τὴν σύμπτωσιν ἀτημελήτως πῃ ἐῤῥιμμένας, Ἑλένη μαγίςρισσα, ἡ Ἀρταβάσδῳ ἐκείνῳ πρὸς γάμῳ κοινωνίαν συνήρχετο ἔννομον, ἐώκει δὲ ἄρα θερμότερον περὶ ταύτας διακειμένη, καὶ πατρόθεν τὰ τῆς εὐεργεσίας ὡς πέρτινα κλῆρον κεκομισμένη, τὸν τῆς μονῆς προϊσάμενον ὑπελθοῦσα, ἴσως δὲ καὶ χρήμασι διαφθείρασα, καὶ πειθώ τινα τοῖς θερμοτέροις τῶν λόγων ἐπαγαγοῦσα, λαμβάνει. καὶ σπουδῇ τῇ πάσῃ παρὰ τὴν ἑξίαν τοῦ ἀδύτου ταύτην ἐνθεμένη θαλάμῳ, φωταγωγίαις, καὶ θυμιάμασι τὸν πόθον αὐταῖς ἀφωσίω, γαννυμένη τῷ τῆς ἡδονῆς ὑπερβάλλον τι, ὅτι δὴ τὴν κοινὴν χάριν, σφετέραν εἶναι ξυνέβη. καί ποτε μιᾷ τῶν νυκτῶν πρὸς ὕπνους ταύσῃ δὴ τετραμμένῃ, ἡ Θεοτόκος ἐφίσαται, καὶ ὀνομασί ταύτην καλέσασα, Ἑλένη λέγει ἀνάςηθι, καὶ πρὸς τὰ οἴκοιμε πάλιν ἀπαγαγοῦσα, κατάθες. ἃ γάρ μοι τοῖς ἐν ταῦθα ἄςι φίλη διατριβή. ἐκείνη τοιγαροῦν φαντασίαν εἶναι, καὶ ἄλλως ὄναρ κενὸν οἰηθεῖσα, εἴτε τῷ μὴ θείαν εἶναι τὴν ὄψιν, εἴθ' ἑκοῦσαν ἀγνοῆσαι προσπλάσαθαι, τῷ τῶν εἰκόνων ἀκριβῶς ἔχεσθαι, καὶ τῷ τέτων πόθῳ ἐκτετηκέναι. ὅ γάρ

τις μὴ

τις μὴ βάλῃται, ἃ δὲ τοῖς περὶ ἐκείνα λόγοις καὶ ὄψεσι πάντως εἴωθε διατρίβειν, καὶ εἰ τῶν πρὸς τῷ ἅ πάχειν ἐπείγεται μᾶλλον σομβαίνει δίζασθαι, τὸ γενοῦν συσκιάζειν ἐπεχείρει τὸν ὄνειρον, ἑκοῦσα δῆθεν ἑαυτὴν ὑποκλέπτουσα. ἀλλὰ καὶ αὖθις ἡ Θεοτόκος ἐπίσης ἔχουσα καὶ δέσεως καὶ μορφῆς, κατὰ τὰς ὕπνους αὐτῇ γίνεται ἐμβριθές τι, καὶ ὀργίλον τὸ ἦθος ἐξεικονίζουσα, καί φησιν· εἰ μὴ θᾶττον διανοξᾶσα, ἠνίκα σε καὶ ὁ ὕπνος ἀνήσῃ, πρὸς τὸ πρότερον καὶ φίλον ἀπαγάγῃς με ἐνδιαίτημα, ὡς δήσοι καὶ πρότριτα παρηγγύησα, εἰδέναι χρὴ, ὡς μεταμέλῳ χρήσῃ, καιρίαν δεξαμένη πληγήν. ἡ δὲ καὶ πάλιν βεβακχευμένη τῷ πόθῳ τοῖς ὁμοίοις διέκειτο, ὑποκρινομένη ἑκοῦσα τὸ ἀγνοεῖν, καὶ ἥκιςα θείαν εἶναι διατεινομένη τὴν ὄψιν, ὅθεν καὶ λαμπάσι, καὶ φωταγωγίαις μᾶλλον ἐπειρᾶτο πλείοσι τὴν εὐγνωμοσύνην ἐπιδεικνύναι, καὶ τὴν πόθον αὐτῆς ὑπεκκαίειν. φλόξ τοιγαρῦν ποτε τῷ θαλάμῳ ἀθρόον ποθὲν ἐκπηδήσασα, ᾧ αἱ εἰκόνες ἦσαν περικλειόμεναι, καὶ τῶτον ἐξ ἀπίνης χειρωσαμένη, τὰ κύκλῳ ἐνέμετο, ἔπειτα ἐξ ὀλίγε εἰς μέγιςον ἀναδραμοῦσα, τῶν κεράμωντε ἥπτετο καὶ δέος μέγα ἀνέσειεν, ἅπαντα τὸν οἶκον αὐτῇ διαπυρπολεῖσαι. ἡ γὰρ γλόξ σὺν ἤχῳ βρέμασα, καθεῖρπεν ἁπανταχῆ, καὶ ἔφθασεν ἂν ὁ οἶκος ἅπας ἀναλωθεὶς, εἰ μὴ αὐτῇ κατὰ τὴν αὐλαίαν γεγενημένη, θερμοῖς τοῖς δάκρυσι κατασβέσαι τὸ φλέγον ἐπεκαλεῖτο τὴν Θεομήτορα, τὸ ἀνήκοον διομολογοῦσα· κατάσβεσον ἀνακράζουσα πηγὴ τῷ ὄντως διειδοῦς νάματος, τὴν πάντα καταφαγεῖν ῥύμην πυρὸς τὸν ἐμὸν οἶκον ὁρμῶσαν, καὶ σῶσον τὴν χύδην ῥέουσαν φλόγα. σὺ γὰρ τὸ φλεγμαῖνον τῆς ἁμαρτίας κατέσβεσας, καὶ τὴν τῷ θανάτῳ ῥύμην πυρὸς δίκην τὸ ἀνθρώπινον καταδαπανῶσαν, ὡς ὕλην εὔπρηςον, τῇ σῇ δυναςείᾳ βιασαμένη, τῆς ὁρμῆς ἔςησας· καὶ νῦν τῷ σῷ τῆς χάριτος δροσισμῷ, μᾶλλον δὲ τῷ σῷ τῆς πηγῆς ὕδα-

τι, τὸ φλέγον τὴν οἰκίαν, ἀχ ἧττον δὲ καὶ μὲ πυρπολῶν, καταμάρανον. ἀ γὰρ εἶναι πάντως προσῆκον πηγὴν ἀέννααα βρύσαν, μὴ νάρκην ἐνδεῖναι βραχυτάτῳ πυρὶ, ἀλλὰ σβέσον τοῦτο, ᾗ ἅμα ἕω κατὰ τὴν σὴν προσαγὴν, ἀνηκέσῃ δὴ τῇ πομπῇ ἀπαγαγεῖν σπεύσω οἴκαδε τὸ ἐκτύπωμα. ταῦτα λέγεσα, ᾗ ὅρκοις κατησφαλίζετο τὴν ὑπόσχεσιν. ἦν οὖν ὁρᾶν αὐτίκα τὸ ἀγριαῖνον ἐκεῖνο τὸ πυρὸς συσελλόμενον, ᾗ μετὰ βραχὺ ἀνὰ πόδα χωρῆσαν, ᾗ τῆς ὁρμῆς λῆξαν ἐκμαρανθέν. ἡδέσθη ᾗ γὰρ τὰ τῆς Ἑλένης, ἐλεεινὰ ᾗ πίσεως ἔμπλεω ῥήματα, ᾗ ἣν ἀνῆψε φλόγα δι' ἐπαινεμένην παρακοὴν, ταύτην ἐξ ἀντιῤῥόπε θερμὰ δροσίζοντα κατέσβεσε δάκρυα, ᾗ τὸ περιῤῥεῦσαν πλῆθος, ἐξέσησαν. πλὴν τῷ καινῷ δὴ τότῳ, ᾗ ἑτέρου συνέδραμε μέγισον. λήξαντος γὰρ παντάπασιν τὸ πυρὸς, εὑρέθησῶον τὸ οἴκημα, αἵ τε λυχνίαι κατὰ χώραν καιόμεναι, ᾗ ταῖς εἰκόσι τὸ ἀβλαβὲς περιῆν, ἐν μηδενὶ λυμήνασθαι τὸ πυρὸς δυνηθέντος. ἔνθεν τοι ᾗ προϊαίτερον ἀναςᾶσα, (πολὺ δὲ πλῆθος τὸ καινὸν τὸ θαύματος συνελέξατο) ψαλμοῖς ᾗ ὕμνοις, προσέτι δὲ ᾗ ἀρώμασιν ἐξαισίοις, Γερὸ σίφας εὐσαλῶς ἠγεμένων, τὰς εἰκόνας αὖθις πρὸς τὸν ἐκ πολλὸ ταύταις προσήκοντα οἶκον μεταβιβάζει· ἔνθα τοίνυν ταύτας κατέσησε, ᾗ νέον θυσιαςήριον πήγνυσι, ᾗ τὴν μνήμην τὸ θαύματος, πλῆθος ἄπειρον ἐξιὸν τῆς πόλεως, ἐγκαινίζει ἑκάσοτε, πανδήμοις ὑμνωδίαις γεραῖρον τὴν Θεομήτορα, κατ' αὐτὴν δὴ τὴν πρώτην ἡμέραν τῶν νησειῶν. τὸ γὰρ πρὸς ἑσπέραν τῆς προκαθαρσίμε κυριακῆς, τὰ τὸ θαύματος ἐπεγένετο. Τῇ μαγισρίσσῃ ταύτῃ Ἑλένῃ πολλὰ ᾗ ἕτερα διεπράχθη τεράσια, παρὰ τῆς ἀειζώε πηγῆς, ἅ πάντα διελθεῖν τῷ λόγῳ, ἀ ῥᾴδιον, πλὴν ἀποχρήσει φάναι, ὅτι τότων ἡ Θεοτόκος δημιεργὸς, ᾗ παραςῆσαι πίσιν ἐντεῦθεν τότοις, ᾗ μέγεθος περιθῆναι. ἀλλ' ἐκ-

Θαῦμα ιγ'.

ἐκ πολλῶν ταῦτα δὴ προκείθω ταῖς ἀκοαῖς ςραχὲ ἄττα πρὸς ἔνδειξιν. πλήττει ᾗ ταύτην νόσος τὰ περιγάςρια, ᾗ τῆς νόσε νεανιευομένης τῷ χρόνῳ, ἡ τῶν ὕρων ἐπέχεται ἔξοδος. ἐντεῦθεν σκληραῖς ὀδύναις ἐπεικῶς τὸ γύναιον δριμυσσόμενον, τῷ συνεχεῖ τε πόνε, ᾗ τῆς βοῆς τῷ ἐντόνῳ, ἀδιέξοδον παρεῖχε τὸ ἀναπνεῖν, καὶ κτῶν ἄνωθεν ᾗ κάτω ἐπεπολιόρκητο, ᾗ πρὸς θάνατον κατηπείγετο. ὅτως ἦν ἔχεσα, τὸ ζωοδόχον ὄντως ἐκ τῆς Ἱερᾶς πηγῆς ὡς ἔθος μεταξέλεται νάμα, ᾗ θέρμῃ πυρὸς ἀμβλείᾳ τε το διαθερμάνασα, χιόνι γὰρ οἶμαι καταῤῥύτῳ τὸ σύμπαν ἐπεπολίωτο, ἐν ταυτῷ λετρῷ ᾗ λύτρῳ τε κακε̃ντος ἐχρήσατο. τῆς ἐκπνοῆς οὖν καθὰ προσῆκε σχέσης, τὸ ᾄθμα, ᾗ ἡ τῶν ὕρων πηγὴ, αὐτῇ ἀνεφράγνυτο, ᾗ ἀθρόον τὰ ἔνδον εὖ διεσκεύασο, κατὰ χώραν προχωρέντων ἑκάσων. Καὶ ἕτερον δὲ τῶν δύο ἔχεν καταδεέσερον λέξων ἔρχομαι. τῶν γὰρ παίδων τελευτᾶν αὐτῇ μελλόντων, ὡς πᾶσαν ἀνθρωπίνην ἐπικρίαν ἀποθεμένη, παρὰ τὸν νεὼν ἐγένετο τῆς πηγῆς φοράδην διαβασαχθέντων τῶν παίδων. ἐπειδήπερ ἡμέραις τισὶν ἀ τὲ λυπε̃ντος τὴν ἀναψυχὴν προβάινεσαν καθεώρᾳ, εἰς δάκρυα τρέπεται, ᾗ φωνὰς (ᾗ τὶ γὰρ εἰ μήτηρ ἦν, ᾗ ἀχ ἧττον αἱρεμένη θανεῖν) οἰκτειρον λέγεσα τὴν ἀθλίαν ἀγνὴ, ᾗ τὸ μόνον τε γένεσμοι ζώπυρον, τὸ περιλελειμμένον μοι παραμύθιον χάρισαι, κορωνίς σοι κείθω καὶ ἡ τῶν παίδων ὑγίεια τοῖς λοιποῖς. θράττει γάρ μ τὴν καρδίαν τότων ὁθάνατος, ᾗ πολλῷ μοι βέλτιον τὸ θανεῖν, ἢ τὸν μόρον τότων ἀναχέθαι θεάσαθαι, δεινόν τι χρῆμα κέντρον τῆς ἀπαιδίας· σύμε λύσαις τὴν συμφορὰν, σὺ γὰρ καὶ τὸν σάλον ῥᾴδιον τῆς ψυχῆς κατευνάσαις, οἶδας τὰ τῆς φύσεως κέντρα· οἶδας οἵαις πόθων πυρκαϊαῖς, αἱ μητέρες πρὸς τὲς παῖδας ἐκκαίονται. ἵλεως, ἵλεως ἔσο μοι, ᾗ μὴ περιίδης τῷ παῖδε δι' ἐμὲ τὴν

Θαῦμα ιδ'.

δει-

δειλαίαν βασανιζομένω· ταῦτα δὴ καὶ τὰ τότοις ὅμοια λέγουσα, κατὰ βραχὺ τῷ τῆς λύπης βυθῷ ἐνδοθεῖσα πρὸς ὕπνον τρέπεται, ᾗ αὐτὴν διώμνυτο τὴν τῆ λόγω μητέρα Ἰδεῖν, τῷ ἐπισχεῖ κεράσασαν τὴν ἐμβρίθειαν, ᾗ τά δε σφοδρότερον καταλέγουσαν. ἀπείρηκα γύναι τῷ σῷ τῶν δακρύων ὄμβρῳ γενομένη διάβροχος· τὶ βοᾷς ἀναρρήγνυσα δὶ ὄχλου γίνῃ τῷ πράγματι. ἀλλ' εἰ καίποτε τὸ ἐμὸν δὴ τότο ἐπισκῶς ἄγαν μέλος συντεθειμένον ἀνὰ στόμα εἶχες, τὸ, ἀδεὶς προσρέχων ἐπὶ σοὶ, κατηχυμμένος ἐκ πορεύεται ἐκ σῆ παρθένε Θεοτόκε, ἀκ ἂν μὴ τοσῆτον εἶχες καταβοᾶν, τῆς δὲ συνθεμένης, ᾗ ἀεὶ ἀνὰ στόμα διατεινομένης ἔχειν τὸ μέλος, ἡ Θεομήτωρ ἄχρις εἰς τέλος τὸ μέλος συμπεράναι προσάσσει· ὡς δὲ ᾗ τὸ λαμβάνει τὸ δώρημα τελευταῖον ἐπήγαγε πρὸς τὸ συμφέρον τῆς αἰτήσεως, ἡ Θεοτόκος αὖθις, ἀλλ' ἐπιγνῶναισε γύναι χρεών, ὡς λυσιτελήσει τότοις μᾶλλον τὸ μὴ περιεῖναι τῆ ζῆν. σοὶ μὲν γὰρ ἀγνοίας βυθὸς κατακεχυμένος, ἐμποδὼν καθίσαται γνῶναι, οἷς οἱ παῖδες δεινοῖς ἐμπαγήσονται· εἰδὲ παρισάμενον ἦν τὸ δεινὸν, πάλαι ἂν τοῖς ἴσοις ἐκέχρησο κατ' αὐτῶν, τῇ περὶ τὰς παῖδας φιλοσοργίᾳ. ταῦτα δὴ πρὸς λόγως εἰπῆσα, διέπτη· οἱ δὲ παῖδες μετὰ βραχὺ τῆ βίᾳ ἐξίσανται. κατατίθησι δ' οὖν ὅμως αὐτῶν τὰς νεκρὰς, πρὸς τῷ θυσιαστηρίῳ ἐκτὸς, ὅπερ αὐτὴν ἀναγεῖραι, ὁ λόγος φθάσας ἐδήλωσεν, ᾗ περιπαθές τι ᾗ οἷον εἰκὸς γυναῖκα διαπραξαμένη, ἀλλὰ τῇ ἐμβριμήσει τῆς Θεομήτορος, σώφρονι λογισμῷ. τὸ τοσῆτον πάθος διαβασάσασα· χρόνῳ δὲ ᾗ μακρῷ, ᾗ αὐτὴ τὸν βίον ἀπολιπῆσα, ἐν δεξιᾷ εἰσιόντι, πρὸς τῷ τῆς φιάλης νάρθηκι κατατίθεται, ᾗ ζῶσα, ᾗ μετὰ θάνατον ἐκ ἀποσῆναι τῆς πηγῆς δίκαιον κρίνασα, τῷ τῶν εὐεργεσιῶν ὑπερβάλλοντι· αὕτη ᾗ πολὺ χρυσῆ ᾗ ἀργύρω, ᾗ ἄλλα οἷς δὴ τέμενος Ἱερὸν ὡραΐζεται,

τῷ

τῷ νεῷ ἐπαφίησιν, ἵνα καὶ μετὰ μόρον εἴη τοῖς ἀναθήμασι, τὸ εἰκὸς ἀποτινῦσα τῇ τῆ λόγω Μητρί. πέλαγος ἀπείριτον ἐκ μιμοῦνται, τὰ τῆς πανάγνω ἐπιῤῥέοντα θαύματα· ὡς γὰρ ἐπ' ἐκείνων ἐκ ἄν τινι ῥᾴδιον εἴη τὸ βάθος ἀπαριθμεῖσθαι, ᾗ τὰς τῶν κυμάτων ἐπιῤῥοὰς, ἕτως ᾐδὲ ταύτης ἄν τις τὸ πλῆθος διαμετρήσαιτο. ἀλλὰ λέγειν ἀνάγκη, καθάπαξ ἀποτολμήσαντα τῷ πελάγει τῶν θαυμάτων τῆς πηγῆς διανήξασθαι. Μοναχή τις ἐκ τῆς πέραν ἠπείρω, σκληρῷ τινι προσπαλαίσα δαίμονι, κατὰ κρημνῶν ὠθοῦντι, ᾗ ἀλλ' ἄττα τῶν ἀσέμνων καὶ πράττειν, ᾗ λέγειν βιαζομένω, ἐπειδὴ πρὸς τὸν τῆς πανυμνήτε διεκομίσθη νεών, μικρὸν τῆ κακῆντος ῥαΐσασα, νηστείαις ἑαυτὴν ἐδίδω, ὑπομαραίνσα τότῳ τὸ οἰκητήριον, ᾗ τὴν ὕλην ὑποσπῶσα τῷ παλαμναίῳ πυρὶ, τοῖς ἐκ τῶν ὀφθαλμῶν καταῤῥέσσι δάκρυσι. τὸ δὲ δὴ δαιμόνιον, ᾗ πονηρὸν πνεῦμα κατὰ τὸ ἀκάθαρτον ἐκεῖνο πνεῦμα, ᾗ ἰταμὸν ἀπολύον τὴν ἄνθρωπον, ᾗ δὶ ἀνύδρων, ὡς ἔοικε, πορευόμενον, βραχείας τε διαλιμπάνον ἡμέρας, πάλιν ὑπέστρεφεν. ἔμελλε δὲ αὐτῷ κακῶς τῆ ὕδατος τῆς πηγῆς ἀπολαῦσαι, ὥσπερ πάλαί ποτε οἱ κατὰ τῆς τῶν χοίρων ἀγέλης χωρήσαντες, ᾗ ὑποβρύχιοι τῇ θαλάσσῃ γενόμενοι. ἦν ἂν ἰδεῖν αὐτίκα τὴν μοναχὴν σροβαμένην, ᾗ ἀναβρασσομένην, δεινόντε ὑπορχουμένην, πῦρ τῶν ὀφθαλμῶν ἀφιεῖσαν, ᾗ ὁ ἀφρὸς ἐς περιττὸν ἀνεῖρπε κατὰ τῆ σόματος· ὄψιν δ' ἦν τινα ἐναργῶς καθεώρα, ἡνίκα τῆ συντρίβοντος ἀπιόντος, σωφρονεῖν ἠναγκάζετο· κἂν τεῦθεν αὐτὴ μὲν ἀπηλλάγη ταῖς τῆς πηγῆς ἐπιῤῥοαῖς, τότῳ τὴν εἴσοδον ἀποκλείσασα· τί γαρ ἐκείνῳ κοινὸν, ᾗ πηγῇ διειδεῖ, ἀκαθάρτω γε ὄντι ἐφάπαξ, ᾗ ἐν ἀνύδροις ἠρημένῳ βιᾶν, κἂν ἑτέρῳ τρόπῳ τὸν ῥυπαρὸν, ᾗ δίυγρον ἀσπάζεσθαι εἰῶθεν, ὥσπερ χοῖρος βορβόρῳ ἐγκαλινδόμενος, οἷς ᾗ ἐπιτετράφθαι,

θαι, διατρίβειν ἠξίουν· ἀνάλογον τῇ διαίτῃ, καὶ πολιτείᾳ καὶ τὴν οἴκησιν ἀσπαζόμενος. ἡ δὲ ὄψις, εἶχεν ἕτως· ὀπηνίκα τοῖς μοναχοῖς τὰ μεγίστα ἐξιᾶσι νεὼ, σύνηθες δὲ, ὡς ἔοικεν ἦν, μετὰ τὴν ἑωθινὴν ἱκεσίαν ὑπὲρ τῆ κοινῆ πρεσβείαν ποιεῖσθαι, καὶ διὰ τῆ εὐκτηρίᾳ τῆς Θεομήτορος Ἄννης παραγινομένοις, ἐς τὴν καταφυγὴν τῆ ἱερῆ ἁγιάσματος γίνεσθαι, τὴν Θεοτόκον ὁρᾷν ἔλεγε προπορευομένην τῆ ἱερέως, καὶ ἀφηγεῖσθαι αὐτοῖς τῆς ὁδῆ, τὰς βαθμίδας εὐσαλῶς καταβαίνουσαν, καὶ ὑπεράνω τῆς γῆς βασιλικῶς διεσκευασμένην ἐκ δεξιῶν τῆ σωτῆρος ἵστασθαι, ἀποικίλως ποικιλλομένην, καὶ περιβεβλημένην, ὡς ἐν κροσώ τοῖς ἱματισμῶν διαχρύσων, ἀλλὰ ταῖς ἐκ τῶν ἀρετῶν ἀγλαΐαις, κατὰ τὴν δαυιτικὴν ἐκείνην βασίλισσαν, καὶ τῆ νάματος ἀπαρυομένην, τὸν ἐκεῖσε χῶρον πάντα, καὶ τὰς προσιόντας καθαγιάζειν· διὰ τῆτο γάρ φησι καὶ αὐτὴ ἐκκρεμὴς τοῖς ἄνωθεν καθορῶμαι, ἀφεσάναι ἤκουν ἀνεχομένη ῥᾳδίως τῆ καλῆ ἐκείνα θεάματος· τῆτο ἐχ ἅπαξ, ἀλλὰ καὶ αὖθις καὶ πολλάκις ἰδῆσα καὶ διηγησαμένη, ἀνωτέρα τε τῆ κακῆ γενομένη, καὶ ἐς τὸ παντελὲς σωφρονήσασα, τό λεῖπόν τε τῆ βίᾳ Θεοφιλῶς διαζήσασα, πρὸς τὸν τῆς παρ-

Θαῦμα ιδ'. θένα μεταβαίνει ιῴόν. Καὶ τῆτο δὲ τῆ ἴσα θαύματος ἐκ ἐνδέον, ἀλλὰ συγγενὲς οἷον, καὶ τῷ πάθει καὶ θαύματι, ἐξῆς προκείσθω τῷ φθάσαντι. ἔθιμόν τινι τῶν ἐκ πλέ τα περιφανῶν, δι' ἔτας τῇ πανάγνῳ, ἀκμάζοντι βαλλαντίῳ, τὰ τῆς ἑορτῆς αὐτῇ ἐκπληροῦν, πέντε πρὸς εἰ κάδι τῆ μαρτίᾳ μηνός. καί ποτε ταύτην, ὡς ἔθος, ἀναπληρῶντι, ἐπεὶ τὰ πρὸς ἑσπέραν τετέλεσο, τῷ περὶ τὴν ἑορτὴν πόνῳ, τῶν ποδῶν αὐτῷ κεκμηκότων, ἐπὶ σιβάδος ἀνακλίνεται τῆς συνήθες· ἐπίσης δὲ αὐτῷ καὶ τὸ γύναιον, πρὸς ἑτέραν μετεχώρει κατάκλισιν, ὡς ἂν τὸν κάματον βραχύτι τῶν μελῶν διαλύσαντες, νεανικώτερον πρὸς τὰς ὁλονυκτίας

ψαλ-

μῳδίας ἀντέχωσιν. ὁ μὲν οὖν ἀνὴρ πρὸς ὕπνον αὐτίκα τραπεὶς, ἔκειτο. τῇ γυναικὶ δὲ καὶ αὐτῇ ἀδρανὲς οἷον, καὶ κατεψευσμένα παραγενομένα τῆ ὕπνα, πτηνόντι τῶν αἰσχρῶν τὴν ὄψιν, καὶ ὅστις ἂν ἰδών εὐθὺς οἰωνίσαιτο, ἐξεναντίας τῷ τῆ λευκῆ χρώματι ἀποσίλβον, ἐς βάθος. κόρακι δὲ ἐῴκει, τῆτο δήπεθεν τῆς οἰκίας χύδην προσπτάν, διὰ τῆ σόματος αὐτῆς ἔδοξεν εἰσρυῆναι, καὶ αὐτίκα ἠγριαίνετο, καὶ ἐσροβεῖτο, καὶ κατὰ κάραν ὠθεμένη τῷ σκίμποδι, ἀφρὸν ἀνίει διὰ τῆ σόματος, καὶ φοβερά τις ἦν προσιέναι τῷ διασρόφῳ τῶν ὄψεων. φόρτος οὖν ἔωθεν τοῖς ὑποζυγίοις γεγεννημένη, πρὸς τὴν ζῶσαν πηγὴν ἀναφέρεται· δεινῶς δὲ ταῖς ἐκ τῆ σροβοῦντος ἔνδοθεν διαμαξιχθεῖσα, καὶ ἄσεμνά τινα τῶν ῥημάτων, ὅσα ἐς βλασφημίαν ἀνήκει, διατωθάζεσα, ἐπειδήποτε καὶ πρὸς τὸ μεταχεῖν ἐλέες τῇ Θεομήτορι ἐδέδοκτο, ἡ γυνὴ σφοδρότερον τῆ πνεύματος ἀντιπνεύσαντος, μυρίῳ σάλῳ ἐκ ταραχθεῖσα, ἀκαθέκτως εἶχεν, ὡς εἰς ἔλεον μὲν ἐκκεῖσθαι τοῖς κατιδῆσι, φρίττειν δὲ τῆ κακῆντος ἐς τοσῆτον τὴν μάζιγα. τὸ γὰρ δαιμόνιον ἐκεῖθεν ἀπελαυνόμενον, ἐπειδὴ τῆ προσήκοντος οἰκητηρίᾳ ἁφίσατο, διαῤῥῆξαι αὐτὸ κατηνάγκαζεν. ἀλλ' ἕτω τῶν δεινῶν ἔχεσα, διανίσαται, καὶ πάντων ἐκκλινόντων τὴν ὄψιν, ἐκείνη προσαρασσομένη τοῖς τοίχοις, καὶ παραπεισα, πρὸς τὴν ἐξ ἐλαίᾳ φωταγωγὸν γίνεται, καὶ τὸ ὑγρὸν αὐτῆς σύμπαν τῆ σόματος καταχέασα, τὸν πονηρὸν ἔνοικον ἀπελαύνει, τετριγότα, καὶ ὀδυρόμενον· ἔδει γὰρ τὸν σκοτεινὸν ἐκεῖνον, καὶ ἄμορφον, τοῖς ἐγκάτοις ἐμπεφυκότα, τῷ ἐκ τῆς φωταγωγῆ ἐλαίῳ διολισθῆσαι, καὶ τῶν ἔνδον ῥαγδαιότερον ἐκραγῆναι, καὶ ἕτω τῆς ἀῤῥήτε χάριτος παραπήλαυσε, τριπλῆς δεκάδος συντελεσθείσης τῷ ἀῤῥωσήματι. Τὶς δ' ἂν τὸ κατὰ τὸν μοναχὸν Ματ- Θαῦμα ιε'.
θαῖον παράδοξον σιωπῴη τῆς Θεομήτορος; ᾧ δὴ τὴν οἰκονο-

κονομίαν τῆς μονῆς ἐγχειρισμένῳ, (Θεοφιλὴς δ' ὁ ἀνὴρ, καὶ πνεύματι θείῳ τὸ βιῶν ἐπιμαρτυρόμενος) φθόνος πρός τινων, τοῖς καλοῖς εἰωθὼς ἐφεδρεύειν, ἐγείρεται. ὅθεν τῷ κρατοῦντι διαβληθεὶς, ὑπερόριος ἐν χρυσοπόλει πρὸς τοῦ φιλιππικοῦ καθίσταται μοναστήριον. κατακαυχᾶται γὰρ πολλάκις καὶ ψεῦδος τῆς ἀληθείας, καὶ ἀκμαιότερον γίνεται, κἂν μὴ καὶ εἰς τέλος αὐτῆς περιγίνεσθαι εἴωθεν· ὁ μέντοι τῆς μονῆς ἐκεῖνος ἱερῶς ἐξηγούμενος, τὸν ἄνδρα ὁρῶν ἀρετῆς ἐς ἄκρον ἡμμένον, καὶ ὃ φησίν ἡ θεία γραφὴ, ἀναβάσεις ἐν τῇ καρδίᾳ τιθέμενον, πολλοῖς τε ὄντα κατάκομον προτερήμασι, καὶ πρὸς ποιμαντικὴν δεξιόν, περιαιρεῖται μὲν αὐτῷ τὸ ἐκ τῆς ὑπερορίας πικρὸν, ἐφιεὶς ὅπη βουλομένῳ εἴη ἔχειν διατριβήν, τά τε ἔνδον διοικεῖν ἐπιτρέπει. καί ποτε ἦτος ἐν τοῖς τοῦ νεὼ ὑπερῴοις ἐν τῷ ἀσφαλεῖ διεσκευασμένοις, τῷ ὕπνῳ ἐφεὶς ἑαυτὸν ἔκειτο, ἔνθα δὴ καὶ χειρὸς ἀρχαίας ἔργον ἡ Θεοτόκος ἐσήλωτο, ἐκ ἐντελῆ τὸν τύπον τῆς ὁ λομελείας ἐξεικονίζουσα, ἀλλὰ μέχρι ζώνης αὐτὴν ὁ τεχνίτης, κατὰ τὸν ἀρχαῖον τύπον, διέγραψε, τὸν θεὸν λόγον, καὶ τροφέα τοῦ παντὸς ἐπιμασθίδιον ὑπανέχουσαν. φωνῆς οὖν ἐκ τοῦ σχεδὸν προσβαλούσης ἀκήκοε· Ματθαῖε τοῦ ἐνταῦθα θᾶττον λεγούσης ἀπάρας, πρὸς τὸν ἐμὸν οἶκον τῆς πηγῆς ἀνασώσῃτι· ὑπηρέτην γάρ σε διακονίας ἐμοὶ καταστῆναι βουλομένη ἐστίν. ὁ δὲ μοναχὸς τῷ σφοδρῷ τῶν ῥημάτων καταπλαγεὶς, ἐκεῖθεν διανασὰς, κάτεισι μὲν τῶν ὑπερῴων. καὶ ἀωρὶ ἐφίσταται τῷ νεῷ· πρὸς εὐχὴν δὲ αὐτῷ τραπομένῳ, ἀγωνιῶντι τε, καὶ περιῤῥεομένῳ τοῖς δάκρυσιν, αὖθις φωνῆς ἑτέρας ἐνεχθείσης, ἀκήκοε τ' αὐτὰ πάλιν ὑπαγορευούσης, καὶ προστιθείσης, τὸν γὰρ ἐμὸν νεὼν μετασκευάσεις πρὸς τὸ σεμνότερον, καὶ ὅς, ἀλλ' ὑπερορίαν κατακριθέντι, δεδοικέναι πάντως συμβαίνει. ἀλλ' ἐγὼ ὑπὲρ σοῦ λαλήσω, τῆς φωνῆς τὸ τρίτον ἀκήκοε.

κήκοε. καὶ αὐτίκα ὄψις θεία τῷ τῆς μονῆς προεσῶτι γίνεται, λέγουσα. τὸν μοναχὸν ὅσον τάχος, πρὸς τὴν σφετέραν μονὴν ἀνασώσασθαι. ἐπίσης δὲ καὶ τῷ τῶν σκήπτρων κρατοῦντι, Βασίλειος ἦτος ἦν ὁ ἐκ μακεδόνων. ὁ βασιλεὺς τοίνυν πρὸς τὴν ὄψιν εὐθὺς διαθρηθεὶς, ἅμα ἕω πρὸς τὸ μοναστήριον πέμψας, τῷ προεσῶτι τὰ τῆς ὄψεως ἀπαγγέλειν προστάσσει. φθάνει δὲ καὶ ἦτος ἐπίσης τῷ βασιλεῖ προσιών· καὶ ἐπεὶ τὰ ἴσα διαγγέλλειν εἶχε, πρὸς θαῦμα τρέπει τὸν βασιλέα· καὶ ὃς, τὴν ἄδικον ἐξορίαν τῷ ἀνδρὶ λύσας, πρὸς τὸν τῆς Θεοτόκου πηγῆς ἐξαποστέλλει νεὼν, καὶ τὴν προστασίαν αὐτοῦ μετὰ βραχὺ ἐγχειρίζεται, πάσης ἀρετῆς ἔμπλεον ἑαυτὸν κατασήσαντι. ἐντεῦθεν πᾶσι γνώριμος γίνεται, καὶ βασιλεῦσιν ἡδὺς ἐδόκει, τὰ εἰκότα διομιλούμενος. μᾶλλον δὲ τῷ βασιλεῖ Λέοντι διὰ θαύματος ἤγετο, ὃς τῇ πρὸς τὸν ἄνδρα αἰδοῖ, τόν τε τῆς ἁγίας Ἄννης ἀνεγείρει νεὼν, καὶ τῷ τοῦ μεγάλου νεὼ νάρθηκι κάλλος ἐξαίσιον περιτίθησιν, ἀμαυρωθέντι παρὰ Σκυθῶν, ὅτε τὴν θρᾳκῶν ἐκεῖνοι καταδραμόντες, ἄρδην σύμπαντα κατηδάφισαν. ναὶ μὴν καὶ τῇ ἱερᾷ, καὶ θείᾳ καταφυγῇ, περιελὼν ὅσον ἀκοσμίας ταύτῃ περιῆν τῷ χρόνῳ, τό τε λεῖπον ταῖς ψηφίσιν ἀνενεώσατο, καὶ παντὶ τῷ λείποντι παραχὼν τὴν χεῖρα ἐπέῤῥωσε, καὶ πρὸς τὸ εὐπρεπέστερον μετεσκεύασεν, ἀῤῥήτου καλλονῆς ἐμπλήσας τὸν χῶρον. τότε δὲ τῶν εἰρημένων διασκευαζομένων ἐπὶ τὴν κρείττω κατάστασιν, θαυμασίόν τι τῇ Θεομήτορι διεπράχθη. Οὗ ἐλήθη καὶ ἀγνοίας βυθῷ, ἄξιον ἐκδοθῆναι· τῆς γὰρ κλίμακος ἁπανταχοῦ τὸν ἄνω χῶρον διαθεώσης, ὡς ἂν τὸ κατεσπαραγμένον, καὶ ἀμαυρὸν τῶν ψηφίδων, πρός τε τὸ κρεῖττον μεθαρμόζοιτο, καὶ μὴ τῷ ἑξῆς χρόνῳ γένοιτο κατὰ τάτε νεανιεύσασθαι, τῶν τινι ἐπὶ ταύτης ἐσῶτι, καὶ θεωμένῳ, κλήρῳ δ' ἦν κατειλεγμένος Ἀγαθονίκου τοῦ μάρ- Θαῦμα ιή.

τυρος, Ἰωάννης ὄνομα τῷ ἀνδρὶ, ἕτος παρατραπεὶς ἐκεῖθεν, ᾗ τῷ πόδε διολιωθήσας, ἄνωθεν ἐπ' ἐδάφους καταῤῥαγεὶς, τοσοῦτον ὑπέρτερος ὤφθη μηδένι παθὼν, ἃ προσῆκον ἔχειν δὶ ὑποψίας, ὥσε ᾗ μᾶλλον τὰ πρὸς ἰσχὺν ῥωμαλεώτερος γέγονεν. ἔλεγε δ' αὐτὸς, ὡς ἡνίκα κατὰ τὸ ἐδάφας ἐφέρετο, θεία τις δύναμις, χειρὸς δίκην, αὐτὸν ἀνεκόφιζεν ὑπανέχουσα ᾗ ἠρέμα συγκαταβαίνουσα, ἕως ἕ πρὸς τὴν ὑπερβολὴν τῶν λίθων ὡς ἐπί τινος ὁμαλοῦ, ᾗ λείου κατήγαγε. φήμης τοιγαροῦν ἐκδοθείσης τοῖς τοῦ νεανίσκου πατράσιν, ὡς ἄρα ὁ αὐτοῖς φίλτατος ἀπείπατο τὴν ζωὴν ὑπερφυεῖ καταραχθεὶς τῷ κρημνῷ, ἐκλελυμένοι τὰς τρίχας, ᾗ θερμὰ τῶν ὀφθαλμῶν ἐκχέοντες δάκρυα, παρεγένοντο, ᾗ παρ' ἐλπίδα πᾶσαν κρειττόνως τῆς ἕξεως θεασάμενοι, ὑποστρέφουσι. λέγεται μέν τοι καὶ φωνῆς αὐτοῦ δύναμίς τις περιηχῆσαι τὰ ὦτα, ἐκ μυχῶν ἐχάτων τοῦ ὕδατος, ἔχετε τὸν ὑμέτερον παῖδα τοῖς ζῶσι καταριθμούμενον, ἀλλ' ἄπιτε τῇ τοῦ θεοῦ μητρὶ ζωάγρια θύσοντες. καὶ τῆς λύπης ἀντίῤῥοπον τὴν εὐφροσύνην δεξάμενοι, τῆς οἰκαδε ἥψαντο, τὸ θαῦμα πᾶσιν ἀνακηρύττοντες. διαῤῥεῖν μὲν οὖν τῷ λόγῳ περίεσι, πρὸς τὸ πλῆθος ἀφορῶντι τῶν ἔργων, ᾗ τοῖς καθ' ἕκαστον πειρωμένῳ ἐφίσασθαι. ἀλλ' ὅσα μὲν τῶν παθῶν ἐπίσης ἔχει, ὁμοίας καὶ τῆς θαυματουργίας τετυχηκότα, παρήσειν δοκῶμοι, παμπληθῆ τε ὄντα, ᾗ ἄσρασι πρὸς μέτρον ἀκ ἐνδεᾶ. πλὴν ἀλλ' ἐπεὶ καὶ τ' ἄλλα διεξιέναι ἔκουν τοῖς ἅπασι ῥάδιον, ἐπιτροχάδην ὅμως διελθεῖν ἀνάγκη, ᾗ τὰ καίρια μὴ παραλιπεῖν, ἵνα μή τις ῥαθυμίας ἡμᾶς γράψηται. Αὐτίκα τοίνυν καὶ Λέων, ὁ ἀχ ἧττον βασιλεὺς, ἢ σοφὸς, πλείσην ὅτι πίσιν εἰσενεγκὼν, ἀντιλαμβάνει τὴν χάριν, ἀδ' ὅσῃ τις εἰπεῖν δυνατὸν. τὰ περὶ τὰ ἕρα γὰρ καὶ ἕτος ἀνωμάλως ἔχων, ᾗ πικραῖς ταῖς καθ' ὥραν περιωδινίαις βαλ-

Θαῦμα ιε'.

βαλλόμενος ὡς καὶ πλημμύρας αἱμάτων τῆς φυσικῆς ἐξόδε προῤῥέειν, ταῖς διειδέσιν ἐπιῤῥοίαις τῆς Θεομήτορος τὸ θολῶν ἐκεῖνο ῥεῦμα διακαθαίρει, ᾗ τὴν ῥύσιν τοῦ αἵματος ἐπιχών, κατὰ χώραν μένειν παρασκευάζει, ᾗ τῇ φύσει τὸ οἰκεῖον αὖθις ἀποχαρίζεται. Ἀλλὰ ᾗ Θεοφανὼ ἡ μακαρία, ᾗ ἀοίδιμος βασιλὶς ἐπίσης τῷ ἀνδρὶ τῆς εὐεργεσίας τετύχηκεν, εἰ καὶ μὴ ἐφ' ὁμοίῳ τῷ ἀῤῥωσήματι. λάβρῳ γὰρ, ᾗ τὰ ἔνδον διακαίοντι λιφθεῖσα τῷ πυρετῷ, ᾗ τῷ λίχνῳ τῶν ἐλπίδων, ἰατροῖς μᾶλλον ἐκπλήσασα τὰς ἐλπίδας τῷ πολλὰ τῶν ὄντων ἐκδαπανῆσαι, τέλος, ἐπειδὴ ἐν ἐλέγχῳ τὰ ἐκείνων ἐγένετο, παρὰ τὸ σβεσήριον τῆς πηγῆς καὶ αὐτὴ γίνεται ὕδωρ, ᾗ τοῦτο κατὰ τῆς ἔνδον φλογὸς ἐπιχέουσα, τὴν ἐπικρίαν ἀνεκαλεῖτο· ἡ δὲ αὐτίκα τῆς ἀκμῆς ἴσατο, ᾗ ὑπεμαραίνετο, κατ' ὀλίγον τῆς βασιλίδος ἀποχωρήσασα. Τούτοις δὴ προσκείσθω, ᾗ τὸ εἰς τὸν τοῦ Λέοντος ὁμαίμονα διαπεπραγμένον, τῶν προῃρημένων εἰς ἔκπληξιν ἀκ ἐνδεές· Στέφανος δὲ ἦν ἕτος, τῷ μεγάλῳ τῆς Κωνσταντίνε θρόνῳ ἐνιδρυμένος, ᾗ τῶν οἰκείων ἐπειλημμένος τῶν ἱερῶν. τούτῳ ἀπόσημά τι κατὰ τὸ σῶμα ἀναφυέν, ὅπερ διὰ τὸ ᾗ τέχνην ὑπεραναβαῖνον εἰς ἕξιν ἥκειν, ἐντεῦθεν καὶ παρωνόμασαι, τὸν ἕκατον ἠπείλησε κίνδυνον. κατ' ὀλίγον γὰρ ἐκεῖνο ἐς μέγα ἀναδραμὼν, ᾗ τὰ κύκλω σύμπαντα διανεμηθὲν, τὰ μὲν πρῶτα, αἷμα ἀνεδίδε διὰ τοῦ σώματος, βιαίῳ πνεύματι τῶν ἔνδων ἀπορῥηγνύμενον. εἰς πύον δὲ τὸ μετὰ ταῦτα ἤλκετο τὴν σάρκα διανεμόμενον· ἕ τὸ μὲν πρὸς τὰς τοῦ πνεύμονος σύριγγας εἰσδυόμενον, ἀναπνεῖν ἀκ εἴα· τὸ δὲ ἀηδίας ἐπίμπλα, διὰ τοῦ σώματος ἐκφερόμενον. ἐπεὶ δὲ τὰ πέριξ καταφαγὸν, ᾗ τὴν καρδίαν ὡς πολιορκῆσον ἐπέδραμε, ᾗ ἄπορα ἦν ἐκείνῳ τὰ τῆς ζωῆς, ἄγεται παρὰ τὴν πηγὴν, ᾗ τοῦ νάματος ὅλη ψυχῇ, ᾗ προθυμίᾳ καταπολαύσας ἡ τῶν

Θαῦμα ιδ'.

Θαῦμα ιε'.

ἡ τῶν τιμίων δὲ ἄρα ξύλων ὕψωσις ἐνεισήκει, παραυτίκα ῥᾴων ἔγνω γενόμενος, ἤκιστα τῆς ἐλπίδος διαπεσών. ἀντιφιλοτιμούμενος δ' ὥσπερ τὴν εὐεργέτιν ὁπατριάρχης, ἄμφι ἅττα ἦσαν αὐτῷ, νικᾷ τῷ ἱερῷ θυσιαστηρίῳ εἰσήγετο, οἷς δὴ ὁ μέγας κοσμεῖται ἀρχιερεύς, χρυσῷ δὲ πολλῷ, καὶ λίθοις εὐγενέσιν ἦσαν διηνθισμένα, εἰς ἐνδυτὴν μεταskευασάμενος, τῷ ναῷ τῆς πανάγνου ἀφιεροῖ, ἐντειλάμενος τοῖς ἐκεῖ, τῷ θυσιαστηρίῳ ἐφαπλᾶν ἐτησίως, καθ' ἣν τὸ σεβάσμιον τῆ σαυρᾶ ἑορτάζεται ξύλον, ὃ δὴ τα καὶ διε-
Θαῦμα κβ'. πέπρακτο. Ναὶ μὴν καὶ τῷ πατρικίῳ Ταρασίῳ, τὰ ἔσχατα κινδυνεύοντι, πυρετᾶ λάβρα τὰ ἔνδον ἐκκαίοντος, τὸ ὕδωρ τᾶτο σβεστήριον γίνεται. εἰς ἄκρον γὰρ ἐξημμένῳ τῷ πυρετῷ, καὶ κατὰ τῆς ἀκροπόλεως χωρᾶντι τᾶ σώματος, ὡς ἐντεῦθεν εὐέφοδον εἶναι πρὸς καταδρομὴν τᾶ λοιπᾶ, τῷ διαπύρῳ τᾶ φλέγοντος, συγχεῖται μὲν ἐκείνῳ τὸ νοερὸν, καὶ τᾶ καθεζῶτος παρατραπεὶς, φρενίτιδι νόσῳ ἑάλω, καὶ πρὸς τῷ τὴν ἰσίαν ἐπαρκέσαι τοῖς ἰατροῖς δεύτερος τῶν ἐκεῖθεν εὑρεθεὶς ἐλπίδων, ἐπεὶ καὶ πᾶσαν ἄλλην ἐπικερίαν ἀπείπατο, ὑπὸ τῆς μητρὸς ἀγώγιμος γεγονὼς, πρὸς τὸν νεὼν φέρεται· καὶ δὴ κατὰ κεφαλῆς ἐγχεομένα τᾶτῳ τᾶ ἁγιάσματος, ἐς ὕστερον δὲ καὶ τῷ ἐκεῖθεν βορβόρῳ ὥς τινι πνευματικῇ περικεφαλαίᾳ, καθ' ὅλης ἐχρίσθη τῆς κεφαλῆς, ἀπεσόβει μὲν τὸ δεινὸν, ἐκ ἔτι τοῖς ἄνωθεν διατρίβειν ἐώμενον. τὸ δ' ὡς τύραννός τις τῆς ἀκροπόλεως ἐλαυνόμενον, ἀπανταχᾶ τᾶ σώματος περιῄει, καὶ μετὰ βραχὺ διέπτη ἀποχωρῆσαν, τῇ δυνασείᾳ τᾶ ὕδατος. ὁ δὲ τροφῆ τε, καὶ ὕπνῳ τῷ σύνηθες χρώμενος, χαίρων
Θαῦμα κγ'. τοῖς οἴκαδε ἴετο. Ἐντεῦθεν ἡ τᾶτα μήτηρ Μαρία, μαγίσρισσα δὲ τὸ ἐπώνυμον, ὑπερφυεῖ τινι πίσει, συνεχῶς παρέβαλλε τῷ νεῷ, πᾶσι τὰ τῆς Θεομήτορος ἀπαγγέλλουσα, καὶ πεισθεῖσα, ἤκισά τινα ἐνδοιάζοντα τῇ πηγῇ

πηγῇ προσφοιτᾶν. καὶ γάρ ποτε αὐτὴν πάθει ἀνηκέστῳ συνέβη περιπεσεῖν, καὶ ἱκέτις ἦν τᾶ ἀνδρὸς, θᾶττον μεταkομίσαι ταύτην ὡς τὴν πηγήν. ἐπεὶ δ' ἐκείνῃ πρὸς πέρας ἦσαν τὰ τῆς ἐφέσεως, ἀπεῖργε δὲ παντάπασιν ἡ τᾶ νοσήματος φύσις, τὴν παρουσίαν τᾶ ὕδατος, μὴ δ' ἄκρῳ λιχανῷ τὸ τᾶ λόγου, αὐτᾶ παραγεύσασθαι, κρύφα πᾶσαν ὄψιν ἀποσκευασαμένη, ἀδιςάκτου πίσεως ἑπομένης, ὡς παρὰ τὴν πηγὴν λαθᾶσα κατῄει, καὶ ἀκράτῳ ἐχρήσατο ὕδατι, παραυτίκα τὸ λυπᾶν ἐκφορεῖ, τῷ καταποθέντι ὕ-
Θαῦμα κδ'. δατι ἐκκρινόμενον. Χρόνου δὲ παραρρυέντος συχνᾶ, νόσῳ πάλιν καταχεθεῖσα, τῶν τινας εὐζώνων, καὶ τάχει τὰς πολλὰς παρατρέχοντας διαπέμψασα, ὅσον τάχος ἐκέλευεν ἀρυσαμένους τᾶ ἁγιάσματος ἀγαγεῖν· τὸ πρὸς ἑσπέραν δ' ἦν ἐλαύνων τὴν πορείαν ὁ ἥλιος. ἐπιςάντες τοίνυν, καὶ τὰς θύρας ἐπιζυγωθείσας εὑρηκότες τοῖς μοναχοῖς, ἐπεὶ πρὸς ταῖς ἔσω πύλαις τῆς φιάλης ἐγένοντο, μηδένα ὁρῶντες, ἠσχάλλον τῇ μελήσει. ὀπῇ δ' ἂν τινι τὰς ὄψεις ἀνέντες, τοῖς ἔνδον ἠτένιζον ἐμβοῶντες, εἴπα τις ἐκπετάσας τάτοις τὰς θύρας ἐφήσει πρὸς τὸ ὕδωρ τὴν εἴσοδον· ὁρῶσι μὲν ἦν τὸ παράπαν ἀδένα, καίπερ περιεργότερον τὴν ὄψιν εἰσβάλλοντες, φωνῆς γε μὴν ἐν μεθέξει γίνονται· ἐῴκει δὲ γυναικὸς εἶναι, τῷ λείῳ καὶ ὀξεῖ καὶ ἡρεμαίῳ τᾶ ἀπηχήματος, τά δ' ὑποτιθεμένης. εἰ βουλομένοις ὑμῖν ἐςιν εἰσελθεῖν, πρὸς τὸ τᾶ ἁγίᾳ Εὐςρατίᾳ μέρος ἐκκλίνατε. εὐκτήριον δὲ τᾶτ πάντῃ βραχύτατον ἐς ἀριςερὰ τῆς φιάλης, ἀνειμένον τῇ πενταδικῇ τῶν μαρτύρων χορείᾳ. οἱ δ' ἀγνοίᾳ τᾶ εὐκτηρίᾳ, καὶ τῆς πύλης ἐπίσης συνιχημένοι, ἀνέσπων τὰς λόγους πρὸς τὴν φωνὴν, καὶ ὅρκοις αὐτὴν ἐμπεδᾶντες ἠξίουν, πρὸς θεᾶ λέγοντες ὅστις ποτε εἶ, καὶ ὅθεν ἡμῖν εἰσιτητὰ γένοιτο τὰ ἐς τὴν πηγὴν, δίδαξον. ἀλλ' ἡ αὐτὴ καὶ πάλιν φωνὴ, ὡς ἐξ εὐωνύμων διὰ τᾶ εὐκ-

τηρίᾳ,

τηρίᾳ, ἀνέτῳ τῇ πύλῃ χρήσασθε. οἱ δ' ἐκεῖθεν ὁ δηγηθέντες, κατὰ τὸν, ὃς καλεῖται νάρθηξ εἰσάγονται. ᾧ ἐπεὶ δὴ ἀδενὶ ἐντυχεῖν ἦν, πάλιν εἰς ἱκεσίαν πρὸς τὴν φωνὴν ἐτρέποντο, ᾧ τ' αὐτὰ τοῖς πρώην ἀκηέιν ἦν, τῶν βασιλικῶν πυλῶν ἔνδοθεν, ᾧ βραχύτι ὅσον ὅσον διατρίψαι μένον τας κατὰ χώρην· μήπω δὲ τῆ τῆς ἔνδον φωνῆς ἀπηχήματος τὸν χῶρον ἀπολιπόντος, ἐφίσταταί τις τὰ τῶν μοναχῶν ἀνειμένος, ᾧ ἀνηρεύνα τὰς ἄνδρας, ὅθεν τε, ᾧ ὅπως, καὶ εἰ πολῷ τῷ μεταξὺ χρόνῳ διατρίβειεν ἕτωσί· τῶν δὲ πάντα κατὰ μέρος διεξεληλυθότων, ἐκεῖνος, ὅτε δὲ χάριν, μὴ, διὰ τῆ πυλῶνος εἰσελθεῖν ὑμῖν ἐξεγένετο; ὅτι τοι ἔφασαν, γυνήτις ἡμῖν, τὴν ἐς δεῦρο φέρουσαν διηρμήνευσεν, ὁδηγῷ χρωμένη τῷ λόγῳ, ἣν πρὸς ὄψιν ἐξαιτεῖμεν ἐλθεῖν. τῷ δ' ἀγνοῆσαι πάντως ἐξὸν ἀδαμῶς, γυναιξίφρισιν ὀχῶρος ἔτος ἥκιστα διατρίβειν ἐφεῖται. ἴσε δ' ὡς κἀμοὶ περὶ τὴν ἄυλειον ἀνατρεφομένῳ, ἴσης ἀπολαῦσαι συμβέβηκε τῆς φωνῆς· ὡς δὴ πρὸς τὸν νεὼν μεταπτάντι, μεταχεῖν ὑμῖν ἐφεῖναι τῆ ὕδατος. ὅθεν δὲ καὶ ἥτις ἦν ἠφωνὴ μηδαμῶς ἀγνοήσαντες, μεσὸν ὑγρῆ τὸ ἄγγος ἀνιμησάμενοι τῆς πηγῆς, τῇ μαγισρίσσῃ ὡς ἅπαντα διεπέπρακτο καταγγέλλουσιν. ἥδ' ἐντεῦθεν θαρρήσασα, τὸ ὕδωρ ἐγχεῖν κατὰ τῆς νόσου προέτρεπεν. ὅπῳ δὲ τέλος εἶχεν ἡ τῆ ὕδατος ἔκροια, ᾧ ἡ νόσος διαλυομένη, συναπέρρει τῷ ὕδατι. Οὐκ ἀνήσω τὸν χρόνον, λήθης παραδῶναι βυθοῖς, ὅσα κατὰ μέρος ἐν ταῖς τῆ σοφωτάτου Λέοντος ἡμεραις ἡ Θεομήτωρ ὑπερφυῶς διεπράξατο. ἐκκείσθω τοίνυν καὶ τὰ κατὰ τὸν ἰὸν τῆ Στυλιανῆ, ὃς τῶν σωματοφυλάκων τῆ βασιλέως ἄρχων ἐτύγχανεν ὤν. τούτῳ λίθος κατὰ τὰ ἀφανῆ τῶν γεννητικῶν μορίων ἐνεσπείρεται. Τὸ μὲν ἓν ὅθεν, ᾧ ὅπως συμβαίνειν εἴωθε, τοῖς πολλοῖς ἐστὶν ἀγνοούμενον. ἐγὼ δέ τινος ἤκουσα δεινῆ τὰ τοιαῦτα διερευνᾶσθαι,

Καὶ Β. Θαῦμα κέ.

σθαι, ὡς φύεται μὲν τὸ πάθος τοῦτο τὸ κατ' ἀρχὰς, ἐν τῷ προέχοντι σαρκίῳ τῶν μητρικῶν μαζῶν. ῥάγαν οἶδε τοῦτο καλεῖν ἡ συνήθεια. τῆ γὰρ γάλακτος πολλάκις χρονίζοντος, εἴτε τῆ παιδὸς ἀπαξιῶντος τὴν ἀμολγὴν, εἴτε δὴ καὶ τῆς τίτθης ἐπί τινι διατριβάσης ἑτέρῳ, τῆ μαζῆ σπαργῶντος, ᾧ προῤῥέειν τὰς τῆ γάλακτος πίδακας ἐκζητοῦντος, τῇ βραδυτῆτι συμβαίνει τυρωθαι τὰ ἄκρα, πηγνυμένα τῆ γάλακτος. εἶτα τὸ βρέφος τῇ ἐκμυζήσει, ᾧ τὸ τυρωθὲν ἐκεῖνο συγκατασπῶν, πρῶτον μὲν αὐτὸ καθίησι τῷ στομάχῳ, ἀδρανὴς δὲ ὢν ἐκεῖνος, ᾧ πρὸς πέψιν ἀμαθὴς τῶν τοιούτων, ἄπεπτον πάλιν παραπέμπει τοῖς μετ' αὐτὸν, ᾧ τέλος περίπα τὴν κύσιν ὡς ὑποβάθρα τινὶ στηριχθέν, τὸ κακὸν ἐκεῖνο ὥσπερ τις ὑπόστασις γίνεται. περὶ αὐτὸ δ' ἐκεῖσε καὶ τῆ ὄρα συνισαμένα, τὸ παχὺ, ᾧ γεῶδες ἕλκει πρὸς ἑαυτό. εἶτα τῇ κατὰ βραχὺ προσλήψει ἐπεκτεινόμενον, σκιῤῥοῦται τῇ θέρμῃ, ᾧ τῷ ὀχετῷ ἐμπόδιον γίνεται, εἰς αὔξην ἐλθὸν, κἀντεῦθεν καὶ ὑπερβαλλόσαις ὀδύναις δίδωσιν. ἴσως δὲ καὶ τρόποις ἑτέροις, ἔκτινων κακοχυμίας ὄψων μεσῶν ἡ τούτων ἄν εἴη ἐνέργεια. διάφορα γὰρ ὄντα, διαφοράν τινα πάντως κἀν τῇ συζάσει ἔξει. τούτῳ τοίνυν, ὡς εἴρηται, τοιαῦτα πάθη γεγενημένα, ᾧ τὸ θανεῖν ὡς ῥᾷον εἶναι πρὸς ὑπερβολὴν κακῆ τοσαῦτα ἀλλαττομένα, πάσχειν ἦν ἀνάγκη. ὅθεν ᾧ ἀκαθέκτως ἔχων ταῖς ὀδύναις βαλλόμενος, ἐκυλίετο. χοροὶ δὲ ἰατρῶν αὐτὸν περιίζαντο, τομαῖς τισι, ᾧ χειρουργίαις, ἴσως δὲ ᾧ ἐπαοιδίαις τὸν λίθον ἐξελθεῖν προκαλόμενοι. ἀλλ' ἔλεγχος δὴ ταῦτα, ᾧ τερατεία κενή. ὅσον γὰρ ἐκείνῳ μᾶλλον ἡ ἔκροια τῶν ὄρων συνείχετο, τοσοῦτον χύδην ἐξηντλεῖτο πλῆτος ὀπατρικὸς, ᾧ συνεξέῤῥεε, πρὸς χεῖρας ἰατρῶν μετοχετευόμενος. ἀλλ' ὁ πατὴρ ὀψέ ποτε ἀνανήψας τῆ κάρα, πρὸς τὴν πηγὴν μεταβιβάζει φοράδην τὸν παῖδα.

δα. ἐς τοσᾶτον γὰρ ἀκμάζον ἦν τὸ δεινὸν, ᾧ δὴ συνεχῶς ὁ παῖς μεταλαμβάνων τᾶ ἁγιάσματος, εἰς τέλμα διαλύει τὸν λίθον, ᾧ μετ' ὀλίγον ὑγιείας ἐπαπολαύσας καθαρωτά τις, οἵκαδε ἐπανήει, τᾶ πάθος εἰς πηλὸν, ὡς εἴρηται, τεναγώδη διαλυθέντος, ᾧ ταῖς φυσικαῖς ἐκκρίσεσι
Θαῦμα κς'. διαῤῥεύσαντος. τάτῳ δὴ προσιδέωθ καὶ ἕτερον. Σχίζινά τις Μαρία, πρὸς τῇ λοιπῇ καχεξίᾳ τᾶ σώματος, καὶ φθορὰν γαστρὸς ὑποσᾶσα, ἐπειδὴ τὸ σύμπαν τᾶ ἔνδον φόρτα ἐξέῤῥευσεν, ὅσον τε ἦν λιπῶδες, ᾧ τοῖς ἥτροις ἐμφιλοχωρᾶν, ᾧ αὐτὸ συναπῆλθεν αἵματι σύμμικτον ἀποξεόμενον, ᾧ διαλυόμενον· ἰατροῖς δὲ τὸ καὶ εἰς ὄψιν ἥκειν ὕδατος, κίνδυνον αὐτῇ τᾶτο εἶναι τὸν ἔσχατον ἔγνωσο. ἐπὶ θύραις δ' ἦν αὐτῇ καὶ ὁ θάνατος, παντὸς τᾶ ὄγκα ταύτῃ διαῤῥυέντος, γυναῖκά τινα καθ' ὕπνας ἔδοξε κατιδεῖν. ἡ δὲ ἦν πάγκαλόν τι χρῆμα, αἰδοῖ σεμνυνομένη, καὶ σχήματι εὐπρεπεῖ βηματίζουσα. ἥτις καὶ προσιοῦσα ταύτῃ, ἐδόκει τῇ νόσῳ μᾶλλον παθαίνεσθαι· ἀνεπυνθάνετο τοίνυν τὰ κατ' αὐτὴν διεξοδικώτερον. τὶς δὲ ἄρα σοι νόσος ὦ γῦναι λέγουσα, ἢ ὄχ ὕδωρ ἐκ τᾶ ῥάσσοι ἔνεσιν ἐκροφῆσαι; ἡ δὲ δύναμίγε ἔφη κυρία μοι πάρεσιν, ἀλλ' ἰατροῖς ἀπηγόρευται τᾶτο τῇ νόσῳ παντάπασι. τότε γὰρ ἄνευ, τ' ἄλλα μᾶλλον ἀποχρῆν ἐκείνοις πρὸς ὑγείαν νομίζεται. ἡ δὲ κοσμία ἐκείνη, ᾧ πολὺ τὸ χάριεν ἀποσίλβουσα, ἀλλ' ἐναντία ἔμοιγε τάτοις ἡ θεραπεία φησί. τόσον γάρ σοι ἔσαι μηδὲν ἀπώναθαι τῶν φαρμάκων, ὥσε τᾶ ὕδατος ἄνευ, ὄκ ἄν σοι γένοιτο, τὴν νόσον ἀποσκευάσαθαι. πίε τοίνυν τὸ ὕδωρ. πηγῆς δὲ τῆς ἐμῆς ἔχω, ᾧ τὰ τῶν ἰατρῶν ἕξεις ἐλληλεγμένα. ἕωθεν τοίνυν ἀρυσαμένη τᾶ ἁγιάσματος, ᾧ εἰς κόρον μάλα πιοῦσα, τῷ καταῤῥεύσαντι τὸ πάθος τῆς διαῤῥοίας ἰσᾷ. ἔτως οἶδεν ἡ τᾶ Θεᾶ μήτηρ, ὥσπερ φύσιν νικήσασα, ἔτω καὶ παθῶν περιγίνεσθαι τοῖς ἐναντίοις ἰάμασι θερα-

θεραπεύσασα. Ναὶ μὴν καὶ τὴν αὐγέσαν Ζωὴν τὴν μήτραν πεπηρωμένην, ὅσα τε καὶ λίθος διακειμένην πρὸς τὰς γονὰς, ἐῤῥωμένην πρὸς τέκνων ἀναδόσεις καθίςησι. πλέγμα γάρτι τῶν ἐκ σηρικῶν νημάτων πεποιημένον, ἶσον τῇ τῆς Θεομήτορος εἰκόνι, τῇ τᾶ σωτῆρος ἐκδεξιῶν, ὑπεράνω τᾶ ἁγιάσματος ἐπὶ σοᾶς ψηφίσιν ἐμπέπηγεν, ἐκεῖσε ἀπαιωρήσασα, εἶτα τὰς λαγόνας κύκλῳ τάτῳ διαλαβοῦσα, ᾧ τὴν ὀσφὺν περισφίγξασα, τὴν γονὴν εἰσρυεῖσαν ταύτῃ συνέχει, τὰ πρῶτα ἐξίτηλον γινομένην, ᾧ διαῤῥέουσαν, ᾧ Κωνσαντῖνος ἐντεῦθεν αὐτῇ κατὰ τὴν πορφύραν πρώτισος γίνεται. ἐχρῆν καὶ γὰρ τὴν κογχύλην ἐξ αἱμάτων ἰδίων τῷ βασιλεῖ τῶν ὅλων ὑποσησαμένην Θεῷ, ταύτην ᾧ κατὰ τὴν πορφύραν πρώτισον ἀναδεῖξαι τὸν βασιλέα, τὸν πορφυρανδῆ τῷ ὄντι, ᾧ εὐσεβέσατον Κωνσαντῖνον. ἰδὲ καὶ παίδων γονὰς τὸ ὕδωρ πρόχειρον παραχεῖν, ᾧ τ' ἄλλα πράττειν μάλισα ἱκανὸν, ὅσα τις αἰτοίη πιςεύων.
Θαῦμα κη'. Εἶτα ἡ βασιλὶς αὕτη, ᾧ ῥίγει φλέγοντι τὴν ἕξιν διαλυθεῖσα, τῷ μὲν ῥίγει ἀνθισᾷ τὸν πηλὸν, τῷ καυσώδει δὲ πυρετῷ τὸ ὕδωρ ἀφίησι. ᾧ φόβος μὲν αὐτίκα τὸ ῥίγος λαμβάνει, ᾧ ὑπότρομον γεγονὸς, ἠρέμησεν ἐξιόν, μαραίνεται δὲ καὶ τὸ φλέγον, ταῖς καταῤῥοαῖς σβεσθὲν τῶν ὑγρῶν.
Θαῦμα κθ'. Εὐξῆς δέ μοι τὰ κατὰ τὸν ἄνακτα Ῥωμανὸν ἐκείσθω τῷ λέγειν. φίλτρον γὰρ καὶ ἕτος ἐξαίσιόντι χρῆμα τῇ τᾶ λόγα μητρὶ ἐνδειξάμενος, καταλήλων, μᾶλλον δὲ καὶ πολλῷ μειζόνων ἀπολαύσει τῶν ἀμοιβῶν. καὶ γάρ ποτε τάτῳ πυρετῷ φλέγοντι ἐκτακέντι, καὐτεῦθεν καὶ ἀηδῶς τοῖς βρώμασιν ἔχοντι, ἅτε τῶν ὀρεκτικῶν δυνάμεων ἐξιτήλων γεγενημένων, ᾧ ἀδυνατῶς ἐχόσῶν τὴν προσήκουσαν ἐνέργειαν ἐκπληροῦν, τῷ ἀπεριέργῳ, ᾧ κοινῷ τοῖς πᾶσι χρησάμενος ὕδατι, ῥώννυσι μὲν τὸ τῇ νόσῳ διερρυηκὸς αὐτίκα, ᾧ τὸ φλέγον ἔκουν ἀντέχε, πρὸς εὐκρασίαν

Θαῦμα κ'. μεταχωρῆσαν, τῷ ἐκ τῆς πηγῆς δροσισμῷ. Οὐ τᾶτο δὲ μόνον, ἀλλὰ καὶ τῆς γαστρὸς ἐπιχεθείσης, ϗ ἀπολιθωθείσης αὐτῷ, πρὸς ἔξοδόν τε πᾶσαν ἀκινήτω διαμεμενηκυίας, ὡς συμβαίνειν τὴν ἐκεῖθεν ἀποφορὰν, τὸν ἐγκέφαλον ἀνατρέχεσαν, ἀπρακτεῖν τὰς αἰσθήσεις παρασκευάζειν, ϗ τῶν ἀψύχων διαφέρειν μηδὲν, τὸ τῆς πηγῆς ὕδωρ ποθὲν, σωτήριον γίνεται. ἐκεινοῖ καὶ γὰρ αὐτίκα, τὸν σκληρὸν ἐκεῖνον φόρτον καὶ τοῖς ἔξωθεν δίδωσιν ἀντωθούμενον ὑγρᾷ δυναςείᾳ τᾶ ὕδατος, αὖθις δ' ἀκράτῳ φορᾷ, τῆς γαστρὸς αὐτῷ ἐκρεύσης, ϗ ἅπεπτα πάντα διακρινάσης ἐκ τᾶ αὐτίκα, τῷ θείῳ ὕδατι τᾶτῳ χρησάμενος, συσφίγγει τάχος ὅσον αὐτὴν, ϗ γίνεται κλεὶς τῇ ἐξόδῳ τὸ ὕδωρ, ἀναχαιτίζον τὸ διαῤῥέον τῶν ἔσωθεν, ϗ τὸ δὴ θαυμαςὸν καὶ φύσιν πᾶσαν ὑπερανεςηκὸς, πῶς ἓν τὸ ὕδωρ ὂν καὶ ἀπόικιλλον, ἐν ταυτῷ καὶ λύειν ἔχει τὰ κακῶς συνεςῶτα, ϗ αὖθις ἐπέχειν τὰ μὴ καλῶς ἀλλήλων ἀπορῥηγνύμενα, ἀμφοτέροις ἐναντίοις ταῖς ἐνεργείαις ἀποχρῶν καθισάμενον. Παραπλήσιόν τι καὶ ἡ τᾶτε γυνὴ εὐεργέτηται Ἄννα, Ἑλένῃ τε τῇ θυγατρὶ, ὑπὸ τριταϊκῶν πολυορκυμένῃ τῶν νόσων ἀπαλλαγὴν δίδωσι. κατὰ περιοδείας τινὰς ἐκποθὲν, ἢ τό γε ἀληθέςερον ἐκείνης καταχεθὲν, ϗ γαςρόῤῥοιαν αὐτῆς ἀναςέλλει φερομένην ἐκτόπως καὶ ἀκαθέκτως προῤῥέουσαν, ἄλλας τε τῶν νόσων δυσχερῆ ϗ τὴν εὕρεσιν, ϗ θεραπείαν ἐχούσας, ϗ μυρίαις ὀδύναις παραπεμπούσας αὐτὰς ἐξιᾶται, ἑνὶ καὶ ἁπλῷ φαρμάκῳ, διάφορον καὶ ποικίλλον νόσων ἐσμὸν ἐκκαθαίρουσα. διὸ καὶ τῷ ἄνακτι Ῥωμανῷ, παρ' ὅλον τὸν βίοτον ἐκ ἄλλο τῶν ὑδάτων πρὸς πόσιν ἀνεῖτο, ἢ τὸ ἐκ πηγῆς ἀρυόμενον, πείρᾳ διεγνωκότι, τὸ θρασικὸν αὐτᾶ· ϗ πρὸς πᾶσαν νόσον ἀντίπαλον. ναρκήσῃ δὴ πάντως καὶ χεὶρ ὑπηρετοῦσα τοῖς θαύμασι, ϗ νᾶς ἀτονήσει καμών. ἴσως δὲ καὶ χρόνος ἐπιλεί-

Θαῦμα λά. Ἰσ. τριταίων.

λείψει με τὰ τῆς Θεομήτορος διηγούμενον. Γαβριήλτις ἀνὴρ, τῶν ἐν τῷ βασιλικῷ δὲ κοιτῶνι διαπονουμένων εἷς καὶ ἄτος ἀνεγνωρίζετο, ὑπὲρ ἀδελφιδᾶτινος τὰ σπλάγχνα διακαιόμενος, λύπῃ τε βαθείᾳ τὴν ψυχὴν βαρυνόμενος, ὅτι πρὸς βαλγάρων χειρωθεὶς ἰχυραῖς κατηςφάλιςο πέδαις. ὑπὲρ δὴ τᾶτε, εὐαγγέλιον εὐφυῶς ἠσκημένον, τῇ Θεομήτορι ἀνατίθησιν, εὐαγγελὶ ἄττ' ἀκᾶσαι δεόμενος ἐκπυθέσθαι τᾶ ἀδελφιδᾶ. ἔωθεν οὖν τὸ βιβλίον ἀνέθετο, πρώτη δ' ἦν ἡμέρα τῆς ἑβδομάδος κυριακὴ, τὸ πρὸς ἑσπέραν δ' ἦκεν ὁ ἀνεψιὸς, ἀοράτως τῶν κατεχόντων διαλυθείς. διετείνετο δὲ, ὡς ἐκ ἤδειν ὅπε γῆς διατρίβω, πρὶν ἢ τὸν νεὼν τῆς Θεομήτορος κατιδεῖν. διαγνὰς τοίνυν τὴν ἐκ τῶν δεσμῶν τῆς βαλείας ἐλευθερώσασαν, ἐ μᾶλλον ἀπολυθεὶς ἔχαιρεν, ἢ ὅτι ὑπὸ τῆς Θεομήτορος παρὰ δόξαν τὰ τῆς λύσεως διεπέπρακτο, ὅ καὶ αὐτῷ ἐκείνῳ τῷ κοιτωνίτῃ ἀεὶ διὰ θαύματος ἦν, ἐ τὴν λύσιν, ἢ τὸ τάχος ἐκπεπληγμένῳ. Ἀπολαύει τῶν θαυμάτων, ϗ Ἰωάννης ἐκεῖνος ὁ μοναχὸς. ὦ Πέπερις τὸ ἐπώνυμον. ἔτος γὰρ ἐνδοτέρω τῆς χαλδαίων γῆς ποιούμενος τὰς διατριβὰς, δεινήν τινα, ϗ ἐξαισίαν νόσον νοσήσας, ἐπεὶ καὶ ἰατρῶν τέχναι, ϗ φαρμάκων ἰχὺς ἀπειρήκει, ἐν νῷ τὴν πηγὴν λαμβάνει τῆς Θεομήτορος. πολλή γάρ τις, ϗ ὀξεῖα φήμη διῆπτατο, πάντων ἐκπληρᾶσα τὰ ὦτα τῇ καινοτομίᾳ τῶν πεπραγμένων, ὅθεν καὶ δακρύων ἐμπλήσας τὰς ὀφθαλμὰς, τῇ τᾶ λόγε μητρὶ διελέγετο· ἡ ἀεννάως βρύουσα δέσποινα, πηγὴ τᾶ ἀειζώε νάματος, γενᾶ μοι βοηθὸς ἐπὶ κλίνης κατακειμένῳ, ϗ μυρίῳ σάλῳ κυμαινομένῳ, μικρὸν οὖν ἐφεικότι αὐτὸν τῷ ὕπνῳ, φαίνεται τις ὑπερφυὴς τὴν ὄψιν, ϗ τὰ μάλιςα εὐπρεπὴς γυνὴ λέγουσα, ὅτε δὴ χάριν ὀδυνωμένῳσοι μοναχὲ, αἱ ἀνακλήσεις ἐγγίνονται. ὁ δ' ἐπιεικῶς, ζῆν ἐφιέμενος λέγει. τί δ' ἂν μοι ταύτης παρά-

Θαῦμα λγ'.

χοις

χοις ἀντάξιον, ἡ ὄψις ἀντέφησεν, ἐπὶ πολλῷ τῷ καμάτῳ, ἐξ αὐτῆς πηγῆς τῇ μέχρι σᾶ ςειλαμένη, ᾗ ὅς ἀδέν μοι πλέον χρυσίνων τριῶν περιλέλειπται, κατὰ μοναχὰς ἠρημένῳ βιᾶν. τῇ δὲ τάτοις δὴ συνθεμένη, δεκτέα δὲ προσειπάσῃ ᾗ ταῦτα, ᾗ ἥκις ἀπόβλητα, ἅπτεται μὲν αὐτᾶ, ᾗ τὸ πάθος τῇ ἀφῇ ἐδραπέτευε, μηδ' ἐν ὕπνοις ἀναχέσθαι οἷόντε ὄν, τὴν τῆς ἀγνῆς παρσίαν· ὅδε ῥάων ἐντεῦθεν γενόμενος, ᾗ μηδὲν τῆς ὑποχέσεως διαλυμηνάμενος, τῶν οἴκοι ἀπάρας, πρὸς τὴν ζωηφόρον πηγὴν ἐξ ἄκρων γῆς ὁρίων ἐπιφοιτᾷ, τὸ θᾶττον, ἡ λόγος ἀνακυρύττων τῆς ἁγνῆς τερατάργημα, ᾗ τὸ χρέος ὡς μάλα ἀποτινὺς προθυμότερον· τᾶτο μὲν δὴ τοιᾶτον. Θαῦμα λέ.

Ἦν δὲ τῷ ἐκ χαλδίας τατῷ μοναχῷ φοιτητὴς, ᾧ νόσος μετὰ χρόνος ἐπισκήπτει δεινὴ, ταῖς ἀπείροις τῶν ὀδυνῶν, ἐγγυωμένη ὅσον ἄπω τὸν θάνατον ἐπιςήσεσθαι. μέσοις δ' ἐν ἀπόροις ἄτω κατειλημμένῳ, πᾶσα γὰρ σωτηρίας ὁδὸς ἀπηγόρευτο, πρὸς δὲ καὶ τῷ διδασκάλῳ διαπορεμένῳ πάμπαν καὶ δυσχεραίνον τι, εἷς πόρος ἐν ἀπόροις ἐδόκει λυσιτελὴς, ἡ πρὸς τὴν ζωηφόρον κρήνην ἐλπὶς, ᾗ ἀναψυχή τις ὑπελείπετο μία, ὁ ἐκ τῆς πηγῆς δροσισμός. κατὰ νᾶν γοῦν ἀνελίττων τὸν λογισμὸν, πρὸς τὸν μαθητὴν γίνεται, ᾗ βάλει τέκνον ἐν βαθεῖ τᾶ τῆς ὑγείας ἀπολαύειν καλᾶ; τᾶ δὲ κατανεύσαντος, ὁ δὲ, ἀλλὰ τῇ πηγῇ φησι κατάθες ὑπεσχημένος τι τῶν ἐνόντων, ᾗ θᾶττον ἡ ῥῶσις ἐφέψεται· ὅδε φοιτητὴς, ἅμοι ἐς χρυσᾶ νομίσματα, πέντε δὲ ἦσαν, εἰ ἄκαν ἔφη ἀσοχῆσαι τῶν δι' ἐφέσεως γένηται, ἐγγυῶμαι τῇ Θεομήτορι. αὐτίκα τοίνυν ὁ Πέπερις παρὰ τὴν ἐκκλησίαν ἰὼν, ἐδεῖτο τῆς τᾶ λόγα μητρὸς, συχνῶν καταῤῥεόντων αὐτῷ τῶν ἱδρώτων ὑπὲρ τᾶ φοιτητᾶ. ἱκανὸν γοῦν χρόνον διαλιπὼν, ἐπὶ τὸν μαθητὴν γίνεται, ᾗ πυνθάνεται μὲν εἴτις ὄψις τᾶτῳ προσέβαλεν.

ὅδε

ὅδε ἀδενὶ μὲν εἰς ὄψιν ἦκον φησὶ, φωνῆς γεμὴν φερομένης ἄτω διακελευομένης ἀκήκοα, γράψον, ᾗ σφράγισον. ὅδε γηραιὸς ἐκεῖνος ἀνὴρ, ἀλλ' ἐμοί φησι τέκνον ἡ Θεοτόκος πρὸς λόγας ἐγένετο, ὡς ταχύνας φθάσον ἐγκελευομένη παρὰ τὸν μαθητὴν. διεβεβαιᾶτο τοίνυν ὡς κατ' ἐκεῖνο καιρᾶ τὴν πολυήμερον νόσον ὡς τινα λεβηρίδα ἀποδυσάμενος, κατ' ἀδὲν τῶν μὴ δ' ὁπωσοῦν νενοσηκότων διέφερεν. ἐξ ἐκείνα τοίνυν μέχρι καὶ ἐς δεῦρο παρὰ τῶν μοναςῶν χαλδίας, τὰ πέντε νομίσματα τῇ θεοτόκῳ κατ' ἔτος πρὸς τὴν πηγὴν ἀνασώζονται, ἀνανεμένων τῇ μνήμῃ τὸ θαῦμα, ᾗ ἀνθισαμένων τῷ χρόνῳ κρύπτειν ὡς τὰ πολλὰ εἰωθότι τὰ τῶν τερασίων ἐξαίσια τῇ παραῤῥοῇ. ἵνα δὲ μὴ δ' ἐν τάτοις τᾶ ἰᾶ ἀπολείποιτο, ᾗ λεπτοῖς τισι τὸ πλέον ἐπιμετρεῖ, ᾗ ἃ τῷ ποσῷ, τῇ δὲ προαιρέσει καὶ προθυμίᾳ τῶν πολλὰ, ᾗ ἄπειρα κατατιθεμένων τὴν ἀντίδοσιν ἐπιῤῥέπσα, καθὰ δὴ καὶ χριςὸς τῇ δι' ἐλαχίςων δύο λεπτῶν τὸ πλέον πάντων δᾶναι, τῇ περιπσίᾳ ἐπιμετρήσας τῆς προαιρέσεως. θάλασσαν, ἀλλ' ἃ πηγὴν, προσηκόντως ἄντις τὸν τῆς πανυμνήτα καλέσοι νεών. ὡς γὰρ ἐκεῖ τῇ ψάμμῳ δυχερὲς τὸ μέτρον ἐπιβαλεῖν, πολλῷ μᾶλλον τῶν ἐν τῇ πηγῇ τελεμένων τὸ πλῆθος ἔχοι ἄντις ῥᾶςα διερευνήσασθαι. ἀλλ' ἐπὶ τὰ ἑξῆς ὡς ἰχὺς χωρητέον μοι τῶν θαυμάτων. Θαῦμα λέ.

Ἀνδρί τινι, πρωτοσπαθάριος ἄτος δ' ἦν τὴν ἀξίαν. νόσων ἐπαλληλίᾳ τὴν ὁλομέλειαν ἐκτακέν τι, κἀντεῦθεν ἡμιθνῆτι γεγενημένῳ, ἄσυλον ἱερὸν τὸ νᾶμα τῆς πηγῆς ἀναδείκνυται. ἐκεῖσε γὰρ ἐκ πάνυ πλείςα ἀπερῥιμμένῳ μία, πρὸς ὕπνον τραπέντι, ὄψις θειοτέρα ἐφίσταται. ἡ δὲ ὄψις, γυνή τις ἐᾠκει σφόδρα καλὴ, ὑπὸ σεμνῷ ψυχῆς κατασήματι, ὡραῖον οἷον, ᾗ χάριεν ἀπαςράπτσα· παρείπετο δὲ καὶ νεανίας αὐτῇ, ἀνεσαλμένος τὴν κόμην ἐπὶ πολλῆς, ᾗ σολῇ διαπρέπων καινῇ, ἐπὶ κιβοτίῳ

φαρ-

φαρμάκων πλήρει τὴν εὐώνυμον βαρυνόμενος. ἡ γὰρ δαπέρα ἐγχειριδίῳ ξίφει καθώπλιζο. εἰς ὄψιν δὲ καὶ τ' ἄλλα Παντελεήμονι τῷ θείῳ παρείκαζο. αὐτη δ' ἐπιζᾶσα, ἃ κατακεῖθαι τὸν Ἰωάννην συνέβαινεν. ὅτω γὰρ ὁ σπαθάριος κατωνόμαζο, ἐπέτρεψε τῷ ἀκολάθῳ, τὸν κάμνοντα ὅ,τι πάσχει διερευνῆσαι. ὁ δ' ἁφῆ τὰ μέλη πιέσας, τὰ ἔνδον, τέτῳ διέφθορεν ἀπαγγέλλει. ϗ δεῖ τομὴν αὐτᾶ ἐπιθεῖναι τῷ πάθει. ϗ ὁ μὲν αὐτᾶ κατήνεγκε τὸ ξιφίδιον τὰ σέρνα ὑποκεντήσας, ὁδὲ νυγεὶς διυπνίζετο, δοξάζων τὴν Θεομήτορα, μηδὲν ὧν ἔπαρχε πρότερον διαγνὰς, μόνον δὲ τὸ ἕλκος τῆς τομῆς ὁρῶν ἀπορρέον. Θαῦμα λέ. Ἕτερός τις, πρωτοσπαθάριος δὲ καὶ ἕτος ἦν τὴν ἀξίαν, μακρᾷ καὶ δυσελίκτῳ νόσῳ σχεθεὶς, τοσᾶτον τῆς τῶν ἰατρῶν τερατείας ἀπώνατο, ὡς ἡδόμενον ἐλπίσι κεναῖς, ἀχθεσθῆναι μᾶλλον τῇ ἐπιδόσει τῆς νόσε· τὸ δὲ τελευταῖον οἰμώζειν τὰ ἐκείνων εἰπόντα, ἐπιτρέψαι τοῖς διακόνοις παρὰ τὰς διεξόδας τῆς πηγῆς ἀγαγόντας διαῤῥίψαι αὐτόν. εἰ δὲ ϗ τὸν βίον ἐκλιπεῖν γένοιτο, τὸν νεκρὸν ἐκεῖσε πῃ κατορύξαντας, ἀναςρέψαι. εἴκασι τοῖς ῥήμασι τᾶ δεσπότε, ϗ παρὰ τὴν πηγὴν φέροντες ἔθεντο, τῷ δὲ λίαν ἐκκρεμῶς τῆς ἀπὸ τᾶ ὕδατος ἐξημμένῳ ῥοπῆς, τὰ πάντα ἐν δευτέρῳ ἐτάττοντο. πολλάκις γὰρ τῷ ἀπορεῖν ἕπεται τὸ συνοῖσον εὑρεῖν. ταύτη τοι καὶ θερμῶς αἰτῶν, ἐ βραδέως κατατυγχάνει τᾶ ᾑδοντος. ὄνειρος γὰρ θεῖος τῷ ὄντι αὐτῷ ἐπιπτὰς, ἐδόκει αὐτὸν παρὰ τὴν καταφυγὴν ἀγαγεῖν. γυνὴ δέ τις τὴν ἀναβολὴν εὐσαλὴς, ἐρανίῳ δὲ ἄρα ἦσαν τὰ πέπλα βεβαμμένα τῷ χρώματι, ἀνὰ τὰς προχοὰς τᾶ ὕδατος ἐφεζῶσα, ἀντλητηρίῳ τινὶ τέτε ἐδόκει ἀρύεσθαι, ϗ τοῖς πόθῳ ζέοντι προσιᾶσι τέτε μεταδιδόναι χειρὶ ἐλευθέρᾳ, προσιόντι δὲ καὶ τῶδε, τὴν μετάληψιν ἐκείνην ἀπαγορεῦσαι, ϗ ὃς μᾶλλον ἦν ἐπισπεύδων τὴν αἴτησιν· ὡς δὲ καὶ

καὶ ἅπαξ, ϗ πολλάκις ἀπηξιᾶτο τᾶ ἁγιάσματος, ϗ ταῦτα δρασικὴν προσάγων τὴν πεῖραν, ἐπεὶ σφοδρότερον τὴν ἀναβολὴν καθεώρα, ὅρκοις ἐπειρᾶτο πείθειν, τὸ φρικῶδες τᾶ θεᾶ ὄνομα ἐπιλέγων· ἡ δὲ τῷ δοκεῖν, ἀναβολῇ καὶ αὖθις ἐδίδε τὸ πρᾶγμα, διερεθίζεσα τὸν πόθον μᾶλλον ἐκείνῳ, εἶτα διαμειδιώσῃ λέγει τῇ παρειᾷ, ὡς βραδύτερον ἀπαντήσαντι ἧκις ἐμοὶ λελόγισαι δεῖν ἐπιδᾶναι, ϗ εὐχερῶς αὐτίκα μάλα δίδωσι τῇ χειρὶ, βραχὺ τὸ παραῤῥεῦσαν εὐθὺς, ϗ ὁ θανεῖν τοῖς πᾶσιν ἐπίδοξος, ἐξάντης τῆς νόσε τῷ ὕδατι γεγονὼς, ποσὶν οἰκείοις, τῆς οἴκαδε ἥψατο, κήρυξ τᾶ ξένε τερασίε, ϗ σιωπῶν καθιζάμενος. Ἤδη δὲ τῷ λόγῳ δώσω καὶ τὰ κατὰ τὸν μοναχὸν ἐκεῖνον Μελέτιον, ὃς τῶν τῆς Θεοτόκε μὲν εἷς ἐγνωρίζετο, ἐν ἀγροῖς δὲ ἀεὶ διητᾶτο. τέτῳ δὴ πρὸς τὸν κρατοῦντα διαβολήτις συῤῥάπτεται, παρ' ἀνθρώπων, οἷς φαυλότης βίε τῶν ἄλλων ἐςὶ τὸ ἐπίσημον. ὁ τοίνυν κρατῶν δεσμώτην αὐτὸν γενέσθαι ἀγρόθεν προσάσσει, ϗ δεσμὰ μὲν αὐτὸν διελάμβανον. οἵτε γὰρ πόδες πεπέδηνται, ϗ τὴν χεῖρα δ' ἔχ ἧττον δεσμὸς ἐκάκε σιδήρεος. ὡς δὲ πανδοχείῳ τινὶ ἐπανιόντες διανεπάυοντο, ἐς ἄκρον μᾶλλον τῷ μοναχῷ πιέζεσθαι ἦν, ἐδὲν τῶν δεσμῶν ἀνιέντος τᾶ τὴν φυλακὴν ἐπιτετραμμένε. ὅτω δ' ἔχων βίας, ϗ ἐπὶ μᾶλλον ξενοχωράμενος, μυείαν τῶν τῆς πηγῆς θαυμάτων ποιεῖται. δάκρυσι γοῦν τὸ πέδον δεικνύων διάβροχον, ἐπεκαλεῖτο τὴν Θεομήτορα, δέσποινα λέγων, ἡ διαφερόντως μὲν ἐν πόλῳ τὰς οἰκήσεις ἔχεις, φίλον δέσοι καὶ ἐξαίσιον καταγώγιον χῶρος ὁ τῆς πηγῆς, σύμοι γενᾶ βοηθὸς ἀπολεγομένῳ τοῖς σιδήροις τὸ πνεῦμα. σίδηρος γὰρ κατὰ τὸν θεοπάτορα, ϗ τὴν ἐμὴν διῆλθε ψυχήν. ἀκ ἀλλοτρίᾳ οὖν χρήσῃ τῇ πείρᾳ, κἀγὼ γὰρ ποίμνης τῆς σῆς ἐλάχισον πρόβατον· ὡς γᾶν ἀποχρῶν εἶναίσοι κατοικκτήριον κέκριται, ναὶ δὴ Θαῦμα λζ.

δὴ πάντως καὶ τῶν ὑπ' αὐτὴν ἐκ ἐλαχίστη φροντὶς, καὶ μάλιωθ' ὅτ' ἐπὶ κενῆς πάσχειν προάγονται πείρᾳ τῆ ἐφεδρεύοντος. ὅπως τέλος αὐτῷ ἐλάμβανεν ἡ εὐχὴ, ἡ γυνὴ τις πορφύραν ἐνδεδυμένη ἐκ τῆ χεδὸν διαφαίνεται. δύο δὲ καὶ ἀμφίπολοι ταύτῃ παρείποντο. ἐρυθραίνετο δὲ αὐταῖς ἡ ἀναβολὴ, ἥ τις δὴ καὶ πλησίον ὅσον ἴσα, διεπυνθάνετο, τίς τε εἴη, ἡ ὅθεν ἡ ἔνεδρα, ἡ θαρρεῖν ἐκέλευε. θατέρᾳ τοίνυν τῶν ἀκολούθων προστάσσει ταῖς πέδαις, τὸ ταυρικὸν σημεῖον ἐπιβαλεῖν. τῆ δὲ γενομένῃ, ὅσα καὶ ὕδωρ ὁ σίδηρος κατεχέετο, ἡ ὁ μοναχὸς ἐλεύθερος ἦν. ἀπάρας οὖν ἐκεῖθεν, ἡ πρὸς τὸ μέγα τέμενος τῆς τῆ θεῆ σοφίας ἐπιδραμὼν, τῆς συκοφαντίας ἀνίετο, τῆ κρατοῦντος συμπαθὲς αὐτὸν κατιδόντος, τῷ ξένῳ τεραςίῳ τῆς

Θαῦμα λή. Θεομήτορος. Καὶ τὸ κατὰ τὸν Κερκύραν ἐκεῖνον μάγιστρον διηγήσομαι. ὃς τῶν κατὰ τὴν ἕω στρατιωτικῶν ἐξηγεῖτο ταγμάτων. ἦτος τοίνυν, πρὸς δὲ καὶ ἡ σύζυγος τῷ ἐκ κοιλίας περιπεπτωκότες νοσήματι, ἐπειδὴ τ' ἄλλα πάντα δεύτερα τῆ πιέζοντος ἦσαν, ἐπίδοξοί τε ἦσαν ὅσον ὅπω διαῤῥυῆναι, τῷ ἁπλῷ, ἡ ἀνωδύνῳ φαρμάκῳ τῆ ἁγιάσματος, τὴν ἄχετον ἐκείνην ἐπέχον φορὰν, καὶ ῥᾳς πονηρὸς, οἷά τις δραπετεύων φυγὰς, τῷ θείῳ ῥεύματι πε-

Θαῦμα λθ. δηθεὶς τὸ παραδοξότατον, κατὰ χώραν ἔσῃ παγείς. Ἀλλὰ καὶ Ῥωμανῷ τῷ τότων παιδὶ ὑπὸ λοιμώδες πάθες σφοδρῶς ἐπιβρίσαντος ἐνοχλουμένῳ, ἐχ ἅπαξ ἀλλὰ καὶ πολλάκις, ἴαμα τὸ ἐκ πηγῆς ἐγγίνεται ὕδωρ, ὅθεν τὴν τῆ δεποτάτε τάξιν ἦν πληρῶν, παρὰ τὸν τῆς Θεοτόκε νεὼν, τοῖς γεννήσασι δόξαν ἔτω, ἡ ἃ διέλιπεν, ἕως ἓ τῆς ἀνδρὶ προσηκόσης ἡλικίας ἐπέβη, τῆς Ἱερᾶς θυσίας προπο-

Θαῦμα μ. ρευόμενος. Οὐ μὴν ἀλλὰ καὶ Θεοφύλακτος ὁ μάγιστρος παντοδαπῶν νόσων πολιορκίᾳ στενοχωρέμενος, ταῖς ἀπὸ τῆ θείε ἁγιάσματος ἐπιῤῥοίαις, ἀπελαύνει τὸ πιέζον ἅ-

παν

παν ὡς τάχος ἐκφενδονῶν, ἡ ταῦτα τῆς τέχνης πάμπαν ἀπελεγχθείσης αὐτῷ. πρὸς δὲ καὶ τῇ συζύγῳ σὺν ἄλλοις, ἡ κοιλίας ὀδύναις ἐφιεμένῃ τὰ ἔσχατα, τὸ ὕδωρ ποθὲν σωτήριον γίνεται, ἃ μόνον ἀπελάσαν τὴν νόσον, ἀλλὰ καὶ πρὸς τὴν κρείττω μεταβολὴν, μεθαρμόσαν τὴν ἕξιν. Τὸ δ' αὐτό φασι καὶ τῷ ἀβασάκτῳ πατρικίῳ μικρὸν Θαῦμα ὕςερον γεγενῆθαι. ὀδύναις γὰρ κοιλίας καὶ τότῳ λιφθέντι, ἀκεσώδυνον φάρμακον τὸ ὕδωρ ἐγγίνεται, μηδόλως ἀντωπεῖν ἐχόσαις πρὸς τότῳ. ἐκεῖνο μὲν γὰρ πίζει θερμῇ ἐπίνετο, ἡ δὲ ὀδύνη ἀπεχώρει τῇ παρασίᾳ ἐξισαμένῃ τῆ ὕδατος. ταῦτα μὲν δὴ τοιαῦτα. ὁ δὲ λόγος κἂν τοῖς ἑξῆς προβαίνειν αἱρεῖται, ὅθεν καὶ τὰ λείποντα ἐφαρμόσειεν, εἰμὴ κεκμηκόσιν ὡσὶν ἐπισήσαιτο. ἐπεὶ δὲ τῷ μὲν ὄκνῳ οὔκεν τις πάροδος ἐνταυθοῖ, ἐσῶσι δὲ καὶ μᾶλλον ὡσὶ, τὸν λόγον ἐκκαλεῖσθαι πρὸς τὴν διήγησιν, βραχέ' ἄττα προθήσομεν τῶν παρειλημμένων γραφῇ. εἶτα καὶ ὅσα δὴ τῷ καθ' ἡμᾶς χρόνῳ τετέλεσαι ἐπιθήσομεν. Ἀνδρί τινι Θαῦμα πάλιν ἑτέρῳ πονήρως λίαν τῆ σώματος ἔχοντι, ἡ ἤδη τὸ μβ. ἆθμα πυκνόντι, ἡ συνεχὲς ἀνασπῶντι, προσδόκιμον ἦν ὅσον ὅπω τεθνήξεσθαι. μετὰ βραχὺ δὲ καὶ τῆτο ἐπεῖχεν ὑγρόν τι κατὰ τῆ φάρυγγος ἕρπον, ἡ τὸν ἔσχατον κίνδυνον ἀνασεῖον. ἐπεὶ δὲ φόρτος γενόμενος ἔῤῥιπτο παρὰ τὴν πηγὴν, ἤδη μὲν τὰ τῆς ἱερᾶς μυσαγωγίας κατήρχετο, ὁδὲ ὀφθαλμός τε ἔμυε, ἡ ἐσροβεῖτο περιαγόμενος, πνέων μικρὰ, ἡ ἀπεγνωσμένα. ὡς δὲ περὶ τὸ Ἱερὸν εὐαγγέλιον περιήει τὰ τῆς μυσαγωγίας, παντάπασιν ἔδοξεν ὁ πατρίκιος τὴν ψυχὴν ἐρυγεῖν· ὡς δὴ καὶ τὴν σύνευνον παρεσκιῖαν ὀδύρεσθαι, οἰμωγαῖς, ἡ δάκρυσι τελευταίοις τὸν ἄνδρα διεξιομένην. ἔτω δ' ἔχοντι τῷ κειμένῳ, ὀφθαλμοί τε ἐκλείοντο, ἡ τὸ σόμα πρὸς τὸ εὔχυμον διεπέφρακτο, ἡ ὅσα δὴ νεκροῖς τελούμενα ἦν ὁρᾶν· κύκλῳ δέ τινων συῤ-

ρευσάντων, καὶ τὴν γυναῖκα παραμυθεμένων, καὶ τῆς ὑπερβολῆς ἀνακτωμένων τὰ πάθη, παρὰ δόξαν ὁ πατρίκιος ἀνανεύσας, ὕδωρ ἀπῄτει πιεῖν, καὶ γευσάμενος, τὴν μὲν νόσον, ἢ τόγε ἀληθέστερον εἰπεῖν, τὸν μόρον, ἐκεῖ διαφίησιν. αὐτὸς δὲ τῷ ζωηρρύτῳ ὕδατι νευρωθεὶς, εὐθὺς μή τινος χειραγωγήσαντος διανίσταται, καὶ ἔμπλεως ἡδονῆς, καταλαμβάνει τὸ οἴκημα, ζωάγρια θύσων τῇ Θεομήτορι. Θαῦμα μγ'. Ἐπίσης δὲ τῷ ἀνδρὶ καὶ ἡ σύζυγος πέπονθεν, οἴκοθεν ἔχουσα τὸ παράδειγμα, νόσῳτε ὁμοιότητι, καὶ ὑγιείας ταυτότητι, ἀ μόνον τὰ ἀνδρὸς περιόντος, ἀλλὰ καὶ τῶν ὧδε μεταχωρήσαντος. Θαῦμα μδ'. Ἀλλ' εἰ καὶ τὸν τὸ ἀπόσημα ἔνδον ἔχοντα τῷ λόγῳ προθείημεν, ὃ διερρωγὸς τοῖς κέντροις τὰ ἁγιάσματος τὰ πύα κεκένωται, καὶ ὥς τι περιττὸν ἐξεπτύσθη καὶ διερρύηκεν, εἰς μέγα ἂν τὸν λόγον ἐκτείναιμεν. Θαῦμα με'. Οὐδὲ ὅπερ τῷ σωματοφύλακι Ἰωάννῃ διεπράχθη τῇ Θεομήτορι προσθετέον, ἀ τῷ φαύλως ἐκείνῃ πεπράχθαι καὶ ἀνειμένως, ἀλλὰ τῷ τὸν κόρον φεύγειν ἐθέλειν ἡμᾶς, καὶ τὸ μέτρον ἅπασι τηρεῖν βέλεσθαι. περὶ τὴν ἔξοδον γὰρ τῶν ὅρων καὶ τότῳ τὸ πάθος, ἔστί δεινότερον; ἀλλὰ τοῖς δεσμοῖς τῶν ὑγρῶν ὑγρὰ καὶ λύσις ἐγγίνεται, καὶ τὸ ἥλιβον αὐτίκα ἐχώρει πᾶν, συνεκρέον τῷ ὅρῳ τε, καὶ διακρινόμενον. Θαῦμα μς'. Τὸ δὲ κατὰ τὸν πρωτοσπαθάριον Νικόλαον, τὸν ἐπὶ τῆς βασιλικῆς σακέλλης, ἤδη λέξων ἔρχομαι, συνελὼν ὅσον ἐνδέχεται. τότῳ παῖς Εὐδύμιος ἦν, ὡραῖος τὴν ὄψιν, τὴν ἡλικίαν νεώτερος, διὰ ταῦτα μὲν οὖν τῷ πατρὶ καταθύμιος. πολλῷ γε μὴν ἐπισπᾶσθαι εἶχε τὸ φίλτρον, ὅτι μονογενής τε ἦν, καὶ ὁ πατὴρ ἐπ' αὐτῷ δὴ καὶ μόνῳ τὰς ἐλπίδας ἐσάλευε. τότῳ λίθος κατὰ τὴν κύσιν ἐμφύεται. ὁδὲ παῖς, ὑπέρρει τὴν σάρκα, τὰ πάθη αὐξάνοντος. καὶ τὸ δεινὸν, ἄμαχον ἦν. ὅτε γὰρ ἰατρῶν ἀπέχρησε τέχνη τῷ πράγματι, καὶ πᾶσα

σα μέθοδος, ἴσα τὰ καὶ μὴ διαπεπράχθαι λελόγισο. ἔλιγε δὲ καὶ ὁ πλάτος, λήγοντι τῷ παιδί. καὶ ὅσον ὁ παῖς συνετέτηκτο τὴν ἰσίαν τὰ σώματος, τοσοῦτον ἡ περισία τοῖς ἰατροῖς ἠύξανέτε, καὶ ἐλιπαίνετο. ἐπεὶ δὲ τὰ τῶν ἐλπίδων κενὴν ἔγνωκε μακαρίαν εἶναι τὸ δὴ λεγόμενον, καὶ ἰδὲν ἦν ἐντεῦθεν ἀπώναθαι, ἢ τὸ τὸν πλάτον ὑφεσάναι πρᾶξαι, ἰδὲν δὲ καὶ τῶν Ἱερῶν ἀπείρατον ἔμεινε, τέλος πᾶσαν ἀπειπόντες ἐνέργειαν, ἐπὶ τὴν πηγὴν χωροῦσι, τὰς τὰ ζῆν ἀγκύρας τῷ ἐκεῖθεν ὕδατι ἀναρτήσαντες. ἡμέραι δὴ παρῆλθον ἰχὶ συχναὶ, καί ποτε ὀδύναι δριμεῖαι καταρραγεῖσαι, ἅτε ὕπνα παραγεύεσθαι εἴων, ἀπόσιτός τε ἦν, καὶ τὸ ποτὸν ἀπεσείετο. πολλὰ γεμὴν ἀπεῖχεν ἵστασθαι, ἀλλ' ἰδὲ κεῖσθαι τότῳ ἦν ἀνεκτὸν. ἀσατεῖν δὲ, καὶ δίκην σρόμβα κυλίεσθαι, κατά τι μετριώτερον ἐνομίζετο. ἅτω δὲ πάσχων, τῷ νεωκόρῳ ἐπέτρεπε πρεσβείαν ἐπιμιγνὺς, σκεῦός τι τὰ πάντα δρᾶν ἰσχύοντος ἁγιάσματος, ἐπορέξαι. εἶκει δὴ τῇ βίᾳ ὁ νεωκόρος, τῷ πρᾶξαι θελῆσαι τὸ πρὸς βουλῆς ἐκείνῳ, ἀμυδράν τινα καταθέσθαι χάριν αἰρόμενος. καὶ τὸ μὲν ὕδωρ πίζει ἐπίνετο. τὸ δὲ αὐτίκα τὴν κύσιν διαδραμὸν, τὸν λίθον ἀνώχλιζε βιαζόμενον, σφοδροτέροις τοῖς ὠδισμοῖς, τῆς ἕδρας ἐξισᾶν μηχανώμενον, καὶ ἀ πρὶν ἀνῆκε πίεζον τὸν παῖδα, ἕως ἓ τὸν λίθον ἔξεδρον γεγονότα, ἐν ἀροδόχῳ ἀγγείῳ ἐξέκρινε, τέρας ταῖς ἀληθείαις ὁρώμενον, καὶ φύσιν ὑπερβαίνοντα, πῶς τοσοῦτος ὑπάρχων τὰ ἀγωγὰ διωλίσθησε. παρεδείκνυ γεμὴν καὶ τὴν βιάσασαν δύναμιν. αἵματι γὰρ καὶ ἕλκει πονήρῳ ἐμπέφυρτο, καὶ ὤζεν ὑπερφυῶς, τῷ χρονίζοντι ἕλκει. ἕτος ἀπαλλαγεὶς, καὶ ἱλαρίων τετίμητο ἀξιώματι, ἐν πλείονι σεμνυνόμενος τῇ ἐπισκέψει τῆς Θεομήτορος, ἢ τῇ ἐκ βασιλέως τιμῇ. τὸ δὲ ῥηθησόμενον, ἀ γραφῇ προσλαβὼν, ἀδ' ἀκοῇ διακύσας, ἀλλ' ἐν εἰκόσιν ἰδὼν, διηγήσομαι. Θαῦμα μζ'. Ὁ τῶν Ἱερο-

Γεροσολύμων πατριάρχης, Γωάννης δὲ ἦτος ὁ μακαρίτης ἦν, ἔκτινος ῥεύματος προσβαλόντος τῇ ἀκροπόλει τὸ σώματος, τὴν ἀκουστικὴν δύναμιν ἐκτραπεὶς, ἔπαθεν. ἐντεῦθεν, ἠχεῖν μὲν αὐτῷ ἐδόκουν τὰ ὦτα. αἱ δ' ὀδύναι μᾶλλον ἔδυνον καὶ αὐτῶν ἁπτόμεναι μυελῶν, καὶ βόμβος ἄπειρος ἐθορύβει τὴν κεφαλήν. κεκώφωτο δὲ παντελῶς τὸ ἐνδομυχοῦντος πνεύματος ἐμπιπλῶντος τὰς πόρους, καὶ τὸ προσιὸν ἅπαν ἔξωθεν ἀπαναινομένου. ἦτος τοίνυν κατά τινα τῶν ἱερῶν χρείαν μικρὸν ἀνεθεὶς, τὴν τῶν ἐκκλησιῶν μητέρα καταλιπὼν, τῇ Κωνσταντίνου ἐπιδημεῖ, Ἰσαακίου τοῦ ἀγγέλου τὴν ῥωμαίων ἡγεμονίαν ἰθύνοντος. ἀλλὰ πάλιν πλεῖον τὸ ἄλγος, καὶ ὀδύναι τὰς ὀδύνας διαδεχόμεναι, τὸ δεινὸν ἄμαχον διαπράττονται. ἐντεῦθεν, ἐκπεφύσσητο μὲν ἐκείνου, καὶ ὠγκοῦτο ἡ κεφαλή· ὁδὲ ὄγκος τέρας τι τὸν ἄνδρα ἐποίει· ἀπελήλατο δὲ καὶ ὁ ὕπνος παντάπασιν ἀπράκτων, καὶ ὑπνώττων ὅσον τὸ ἐπ' αὐτῷ. ἰατρῶν δὲ ἡ χεὶρ νωθρά τε καὶ ἀμελὴς πρὸς ἐγχείρησιν ἐγνωρίζετο· ὡς δὲ πᾶν ἀπῆν φάρμακον, καὶ ἡ ἐλπὶς τοῦ ζῆν περιῄρητο, πρὸς τὴν πηγὴν τῆς Θεομήτορος γίνεται, καὶ βραχύ τι προσμεμενηκὼς τοῦ καιροῦ, τὸ μὲν οἴδημα, τῷ ὕδατι ταπεινοῖ, τῷ δ' ἐκεῖθεν βορβόρῳ, τὸ σεσηπὸς ἅπαν, καὶ βορβορῶδες ἐκκαλεῖται τῶν ἔσωθεν, καὶ πηλῷ καθαίρει διεφθορότα πηλὸν τὸ ταῖς παροιμίαις ἀξύμβλητον. καὶ λύει μὲν αὐτίκα πάθος τὸ οἰκοροῦν, τὴν ἀκοὴν κατὰ χώραν ἰσῶν, λύει δὲ καὶ τὴν γλῶτταν πρὸς δοξολογίαν τῆς Θεομήτορος. καὶ τὸ πάρεργον μεῖζον ἐμπορευσάμενος, οἴκαδε ἴετο τὸν αἶνον ἐξάδων τῇ τοῦ λόγου μητρί. τοῦτο δὲ μόνον προσθεὶς, τῶν ἔκπαλαι διαπεπραγμένων τῇ Θεομήτορι, πρὸς τὰ χρόνῳ τῷ καθ' ἡμᾶς τεράσια τὸν τοῦ λόγου ῥοῦν τρέψομαι, καὶ ἐς δεῦρο δὴ βαδιεῖμαι. Στέφανος ὁ ἐπὶ τοῦ θυμιάματος. Κατζάτωρα τοῦτον οἶδε καλεῖν ἡ συνήθεια. ἦτος τὸ ἰχίον πληγείς, ἡσύχῳ, καὶ

Θαῦμα μή.

καὶ ἀνεπαισθήτῳ τῷ ῥεύματι, ἀργεῖν ἠναγκάζετο. ἀνίατον δὲ πάντως ἴσε τὸ πάθος, ἢ καὶ δυσίατον, ἅτε τῆς κοτύλης ἐπικειμένης, καὶ τῷ γλυτῷ περισφρεφομένῳ ἔνδον ἐπικαθημένης, καὶ μηδὲν ἀνιείσης ἐπεισελθεῖν, ἀλλὰ σύμπαν ἐκτρεπομένης τὸ προσιέμενον. ἔκαμνεν οὖν ὁ ἀνὴρ σφοδραῖς ὀδύναις βαλλόμενος. ἐ τοῦτο δὲ μόνον, ἀλλὰ καὶ τὰ εἰωθότα τούτῳ ἠπράκτει. δαπάναις δὲ ἐξαισίαις τὰ ὄντα κατεδηδοκὼς, καὶ μηδέν τι πλέον ὀνάμενος, ἢ τὸ τὴν ἐσίαν ζημιωθῆναι, πρὸς τῶν λόγοις πάντ' ἀνύττειν ἐχόντων, ὡς ἐδὲν ἦν αὐτῷ πλέον τῶν λόγων, ἤσχαλεν, ἠνιᾶτο τῷ πάθει, καὶ τὴν ζωὴν ἀπελέγετο. ἀλλά ποτε θεία τις ὄψις τούτῳ ἐγγίνεται. ἰατρὸς γάρ τις Καλοκύρις ὄνομα προσιὼν, ἐδόκει αὐτῷ περὶ τῆς νόσου φιλοσοφεῖν, καὶ παραινῶν ἐπέτρεπεν ἔξω ποῦ τῆς πόλεως γεγονότι παρὰ τὸν τῆς Θεομήτορος δόμον, ἐμφορηθῆναι τοῦ ἁγιάσματος, καὶ τὸ ὑγιαίνειν, ἕξει χώραν αὐτίκα, ὡς δὲ τοῦ ὕπνου ἀνείτο, τῇ πηγῇ προσβάλλει, καὶ συχνὸν ὅσον ἐκεῖθεν ἀποῤῥοφήσας, καὶ τοῦ πηλοῦ ἐπιχρίσας, τὴν κοτύλην ἔσχε κατὰ χώραν ἐλισσομένην, καὶ ἐδὲν ἦν τοῦ λοιποῦ κωλύον τούτῳ τῆς οἴκαδε ἅπτεσθαι. τὴν γεμὴν εὐεργέτιν προσαμειβόμενος, ἔγγραφον ταύτῃ ἐγχειρίζει τὸν χάρτην, πισθμενος, ὡς διὰ βίου ἔσαι, ὅσα δουλείας ἔργα τῇ Θεομήτορι ἐκπληρῶν. καὶ ἦν γε ἔτω τὴν τάξιν διατελῶν, ὀρθοςάδην ἐπὶ χειρῶν τὸ θυμιατήριον περιφέρων, καὶ θυμιάμασιν ἀναῤῥέουσιν εὐῶδες, καὶ δίοσμον, πλήρη καπνοῦ εὐώδους τὸν οἶκον τῆς Θεομήτορος ἐμπιπλῶν. Α Καθ. Γ.

Α μὲν οὖν ἐν τοῖς ἄνω χρόνοις τῇ πηγῇ τοῦ ζῶντος ὕδατος παρὰ δόξαν ἐνήργηται, ταῦτά ἐστι. μᾶλλον δ' ἐκ τῆς ἀπειρίας αὐτῆ σαγῶν. ποῖος γὰρ ἄντις ἐπισαίη νοῦς τοῖς καθ' ἕκαστον; ἀρχὴ τῶν νέων θαυμάτων. ὁδὲ λόγος βούλεται κἂν τοῖς ἐξῆς προελθεῖν, καὶ τοῖς παλαιοῖς τὰ νέα συνάπτειν, καὶ προστιθέναι τὰ λείπου-

ποντα, μικρὸν δὲ ὅσον ἀνακτέον αὐτόν. ἐπεὶ γὰρ ἔκειτο τῇ πασῶν τὸ ἄρχειν λαχόσῃ, τὸν τῆς δηλείας ζυγὸν ὑπελθεῖν, καὶ τὸ εὔδαιμον εἰς τοὐπίσω ταύτῃ χωρῆσαι, καὶ τῆς πρὶν τέρψεως ἀντίῤῥοπον τὴν ἀμορφίαν κληρώσασθαι, τί γίνεται. περιήκει μὲν τὸ κράτος, εἰς τὰς ἐξ ἀγγέλων δμάιμονας, καὶ ὠδίνειν ἄρχεται τὰ δεινὰ, καὶ τῇ παραλόγῳ μεταθέσει δῆθεν τῶν σκήπτρων, ἐς μέγα τὶ χρῆμα τὸ δεινὸν ὀγκᾶται, καὶ πλήρης μὲν αὐτίκα πλοίων ἡ θάλασσα, καὶ ἡ πρόφασις εὔλογος· τάφος ὁ ζωηφόρος χριστὸς, καὶ ἡ τοῦ κληρονόμου βασιλέως καταγωγή. ἀκοαὶ δὲ πάντας ἐξεδειμάτουν, καὶ μετὰ βραχὺ, σόλος τὴν καθ' ἡμᾶς ἐπεκάλυπτε, καὶ ἀδὲν ἦν, ὃ τῶν δεινῶν ἐκ ἦν προσδοκᾶν. καὶ τί δεῖ τὰ πολλὰ λέγοντα διατρίβειν, καὶ κύκλῳ περιϊέναι, τῇ σιδηρέᾳ μαστιζόμεθα ῥάβδῳ, καὶ τῷ πυῤῥῷ γένει καταπιμπρώμεθα, καὶ βαβαὶ τῶν λόγων, ἡ βασιλὶς τῶν πόλεων δάλη, καὶ ναῦς ὑπεργεῖ τῷ ἰσίῳ παρεγκεκλιμένῳ τοῦ τείχους τοῖς ἐχθροῖς ἐκείνοις τὴν ἄνοδον. ἐντεῦθεν πῦρ ἐπαφίεται, καὶ δαπανᾶται μὲν τὸ πλεῖστον αὐτῷ τῆς βασιλευούσης, τὸ δὲ λεῖπον ὅσον ἐν ἱεροῖς κόσμοις, καὶ ἀναθήμασι, καὶ ἄλλως εἰς πλοῦτον, καὶ περιφάνειαν ἐκφορεῖται. καὶ τίς ἂν εἶδε θεῖον ἔκπωμα τοῦ φρικώδους αἵματος ἐκκενούμενον, εἶτα καὶ συντριβόμενον. πέπλον τε διαῤῥυγνύμενον ἱερὸν, καὶ μερὶς τοῖς διαρπάζουσι ταῦτα γινόμενα. εἰκὼν τε αὖ τοῦ σωτῆρος κατὰ γῆς ἐῤῥιμμένη, καὶ ποσὶ, φεῦ, τούτων ἀντωθουμένη, καὶ τὸν κόσμον ὅσος χρυσοῦ καὶ ἀργύρου περιδυομένη, καὶ γυνή τις οἴκτρῳ βεβακχευμένη, ὦ γῆ καὶ ἥλιε, κατὰ τῆς θείας ἐπωρχεῖτο τραπέζης ἀσέμνοις περικλωμένη λιγύσμασι, καὶ τῷ συνθρόνῳ ἐνίδρυτο, δεῆσαν διαναπαύεσθαι. τούτων δ' ἐπόπτης τῶν φρικωδῶν, τὸ τῆς σοφίας μέγιστον τέμενος. τὸ δ' εὐγενὲς τῆς πόλεως ἅπαν. καὶ ἡλικίας διάφορον, ἦν ὁρᾶν ἀτίμως περιαγόμενον. καὶ παρ-

παρθένων αἰδὼς καθυβρίζετο, καὶ τὸ γῆρας εἵλκετο, ὅσον τε ἁγνὸν, καὶ ἀφιερωμένον θεῷ ἠχρειοῦτο, καὶ τ' ἄλλα οἷα εἰκὸς πόλιν οὕτω μεγάλην τε, καὶ περιφανῆ πάσχειν, ἀσελγῶν ἀνδρώπων ταύτῃ ἐπεισφρησάντων, ἵνα μὴ καθ' ἕκαστον διατρίβω λέγων. καὶ δραπέτης μὲν ὁ κρατῶν, ἑνὸς τοῦ σώζεσθαι μόνου, τὰ πάντα προέμενος. ὁ δὲ τῶν ἱερῶν ἐξηγούμενος, καὶ τῷ μεγίστῳ θρόνῳ ἐνδιατρέπων, ὀναρίῳ δυσχήνῳ ἔποχος, ἀντίτυπος τῷ χριστῷ γίνεται, ὡς τὴν νέαν ἱερουσαλὴμ ἐξιών. ὁ μᾶλλον ὑμνούμενος, ἢ θρηνούμενος. ἐπεὶ δὲ πᾶσαν ἀσελγείας, καὶ παρανομίας διεξεληλυθότες ὁδὸν μετὰ τὴν κατάσχεσιν, τὸ τελευταῖον, καὶ τὴν ἡμῶν εὐσέβειαν ὡς τυραννήσοντες ἤκασιν ὕστερον, τὶ δὴ πράσσεται; κλείεται μὲν τοῖς εὐσεβεῖν ἠρημένοις τεμένη τὰ ἱερά. ἡ δὲ χάρις ἐκείνων τούτοις ἐμφιλοχωρούντων ἀφίπταται. ὁ γὰρ δυσσεβεῖν ἀνδράσιν ἠρημένοις ἐπιμίγνυσθαι εἴωθε. καὶ τοῦτο μὲν ἅπανταχοῦ ταῖς ἐκκλησίαις τῆς βασιλευούσης ἐγγίνεται, αἵ τε γὰρ ζωηφόροι τράπεζαι, μεταπλάττονται, καὶ ἡ τῆς θυσίας ἐξαλλαγὴ διαπράττεται. τὸ δὲ δὴ μεῖζον ἡ καινοτομία τοῦ δόγματος, καὶ ἡ ἀφαιρῶσα προθήκη τὸ μέγιστον, ὅση δὲ καὶ ἡ ἐκ τοῦ ἀζύμου ζημία. ἔνθεν οἱ μὲν τῶν εὐσεβεῖν ἠρημένων ἐγκλείονται, καὶ καπνῷ λατρᾷ τὸ πνεῦμα προΐενται, ἑτέροις δεσμὰ περιτίθενται, οἱ δ' ἀπελαύνονται, καὶ ἱεροῖς εἴργεται τὰ ἐφειμένα τελεῖν, καὶ μονάζειν ἐθέλουσι. τὰ τῆς μυσαγωγίας ἀτέλεστα. θυσία δὲ ἡμῶν, ἀθαμβῆ, καὶ νεκροὶ τῶν συνήθων ἐκτὸς κατὰ γῆς ἐῤῥιμμένοι. τούτοις γὰρ οἱ κακοὶ, καὶ κακῶν κάκιστα ᾠοντο τὰ ἡμέτερα τυραννήσειν, καὶ ὑπ' αὐτοῖς ἀγαγεῖν. ταῦτα δὴ ἓν πάντα, κἂν τῷ τεμένει τῷ τῆς Θεομήτορος πηγῆς διαπεπραγμένοι. Τὴν τῶν θαυμάτων χύσιν ἀναχαιτίζουσι, δείκνυσι δὲ καὶ ἡ μυστικὴ τράπεζα ἄχρι καὶ ἐς δεῦρο, λατινικῶς διεσκευασμένη. ἀτεχνοῖ μὲν ἂν

καὶ

καὶ τὸ ῥεῖθρον κατὰ τὰ ἱεριχούντια ὕδατα, ᾗ ἦν ἐξ ἐκείνε μηδὲν καινὸν ἡ πηγὴ διαπραττομένη, εἰς ἔλεγχον ὥσπερ καθιζαμένη, ὡς ἀργεῖ παρ' αὐτοῖς τὰ τῆς χάριτος, ᾗ ὁ τῶν θαυμάτων ἄφθονος ἐπέχεται ῥᾳς. ὕδωρ δὲ ἦν ἄλλως, εἰς πόσιν δὴ καὶ μόνον ἀνειμένον τοῖς χρήζεσι· χρόνος πολὺς διερρύη τῶν μεταξύ, ᾗ ὁ παιδεύων καὶ πάλιν λώμενος, ἄνωθεν ἵλεως ἐφορᾷ, ᾗ συντρίβει μὲν αὐτίκα ἔθνος τὸ συντρίψαν ἡμᾶς, ᾗ κρίνει δικαίως κατὰ πᾶν διασπείρων αὐτὲς, ᾗ τὰ κῶλα, τῆς ῥωμαίων ἁπανταχῆ τιθεὶς γῆς, ἀκ ἐν ἐρήμῳ, ἀλλ' ἐν πλατείαις μέσαις, ἵνα ςήλη τις εἴη τοῖς εἰσέπειτα τῷ χριςῷ ἔθνει διαίρειν χεῖρα ἐπαιρομένοις. αὖθις δὲ τὸ οἰκεῖον ἔθνος ἀνακαλεῖται, ᾗ εἰς ἓν ἄγει τὸν περισσιον τῷ ὄντι λαὸν, ᾗ πατρίδα πάλιν τὴν Κωνσαντίνε αὐτοῖς ἐγχειρίζει, ᾗ ἀνὴρ ὑπάργει τῷ θείῳ θελήματι. ἀνὴρ δραςήριος, ᾗ τ' ἄλλα ἀκ ἀγεννὴς, δράσαι δὲ τὸ πᾶν καὶ πρὸς ὑπηρεσίαν τοιαύτην θεᾷ ἱκανώτατος. ὁ τὴν ἐκ πολλᾶ ςρατηγίαν θανᾶσαν, ἀναβιῶναι παρασκευάσας, εἰς μέγα τε ὡς ἀπὸ κέντρε κύκλον, τὰ τῆς ῥωμαίων ἐκτείνας ἀρχῆς. φιλεῖ γάρ πως ταῖς τῶν πραγμάτων καινοτομίαις, ᾗ φύσις καινοτομεῖν ἑαυτήν. προσήκοντα γεμὴν ταῖς πράξεσι ᾗ ἀνδρῶν γενναῖα προβάλλειν φρονήματα ὥσπερ ἑαυτὴν νικῶσαν, ἵνα τὰ κατὰ σκοπὸν ἀνύττειν ἔχωσι τῷ θεῷ, κἂν τοῖς ἐναντίοις, καὶ οἷς χρηςεύεσθαι εἴωθε. τέτῳ τοίνυν τὴν βασίλιον ἐγχειρίζει ἀρχὴν, ᾗ αὐτὴν δῆτα τὴν βασιλεύσαν· ἀπελαύνει γὰρ εὐθὺς ἐκεῖθεν τὲς βιασαμένες ταύτην λῃσὰς, ᾗ τίθησιν ἐκποδῶν· κατὰ ῥοῦν δ' ἂν ἐκείνῳ τῶν πραγμάτων δὴ φερομένων, καὶ τὰ τῆς πηγῆς ἀνεσκίρτησεν, εἰμὴ τοῖς ὑβρισαῖς συμπράττειν ἐδόκει, κἂν ἀχ ἑκὼν ἀλλὰ τυραννέμενος, ὅπερ τέως, ἥκιςʼ ἐχρῆν. ἔμενε γὰρ καὶ πάλιν τὸ ὕδωρ τῆς χάριτος ἀμοιρᾶν ὡς τὸ πρότερον. ἐπεὶ δ' ἐκεῖνος

ἐξ

ἐξ ἀνθρώπων ἐγένετο, ᾗ ὁ καθ' ἡμᾶς ἀνίσαται βασιλεὺς, ἡ κοινὴ τᾶ καθ' ἡμᾶς γένες φιλοτιμία. δὶ ὃν γε οἶμαι καὶ πατρὶ τὰ τῆς ἀρχῆς περιῆλθε ᾗ ἡ τῶν πόλεων αὐτὴ βασιλίς. ὃν ἐγὼ φαίην ἂν καλᾶ παντὸς τύπον καταπεμφθῆναι τῷ βίῳ. ἵνα μὴ δ' ἐφ' ἅπασι τᾶ ἐντελᾶς ἀπολείποιτο, ἐξ ὅτε καὶ τὴν παίδευσιν αὐτὴν, ἔςι τι πρὸς τὸ κρείττω εἶναι, πορίσασθαι, ἡ σαθρὰ φρὴν, ὁ κατὰ τὸν πύλιον ἐκεῖνον ἡρέμα ῥέων τὲς λόγες, ᾗ ἡδυτέρας τᾶ μέλιτος, ἢ τόγε ἀληθέςερον φᾶναι τᾶ νέκταρος, καὶ ὅπα πέμπων καθ' Ὅμηρον εἰπεῖν λειριόεσσαν. ὦ κατὰ τὴν καρδίαν πάντως θεᾶ τὸ φρονεῖν, εἴπερ κατὰ τὸν Δαβὶδ καὶ πραότης τέτῳ τὸ γνώρισμα. ἐπεὶ ἓν ἔτος ἀνίσαται, ὁ πολὺς τῷ ὄντι καὶ μέγας Ἀνδρόνικος, διαῤῥήσει μὲν αὐτίκα τὸ δυσσεβὲς γραμματεῖον ἐκεῖνο, ᾗ γίνεται κέρας ἡμῖν σωτηρίε, πόῤῥω πη ἀπελαύνων τᾶ μέσε, ὅσα τῷ πατρὶ μὴ καλῶς δεδογμένα, θορύβε τὴν ἐκκλησίαν ἐνέπλησεν. ἀνθεῖ δὲ καὶ πάλιν εὐσέβεια, ᾗ οἱ πρὶν ἐπὶ καλῷ ἀπωσμένοι, μετὰ λαμπροτέρων ἐπανάγωνται τῶν τροπαίων, ᾗ λύεται μὲν ἡ ἀπὸ θεᾶ διῃρῶσα ἕνωσις, ᾗ ὁ ἐπαινετὸς τῷ ὄντι, γνωρίζεται πόλεμος. ἃ γὰρ εἰρήνην ᾤετο τὴν τὸ θεῖον ἐκπολεμώσασαν. Τέτε δὴ γεγονότος, ᾗ τῆς εὐσεβείας λαμπρὸν διαλαμψάσης ἁπανταχᾶ, τὰ τῆς Θεομήτορος ᾠδίνειν πάλιν ἄρχεται θαύματα, ᾗ γίνεται βασιλεὺς τῇ πηγῇ ἑλισσαῖος ἄλλος, ἀχ ἅλατι γόνιμον τὸ ὕδωρ ἐγκαθιζῶν, ἀλλ' εὐσεβείᾳ μᾶλλον. ᾗ οἷς τῶν ἄλλων διαγέγονε παμπληθὲς ὑπερέχων· συμμαρτυρεῖ γὰρ ὡς ἄντις εἴποι, ᾗ τὸ κῦρος, ἡ Θεομήτωρ ἐπιψηφίζεται, καὶ ὥσπερ ἐπιγαννυμένη τῇ εὐσεβείᾳ τᾶ ἄνακτος, ἀμείβεται τᾶτον ταῖς ἐκ τᾶ ὕδατος χάρισι· τοιᾶτον γὰρ τὸ θεῖον ἀεὶ ἐμφιλοχωρεῖν εἰωθὸς, ᾗ ἐπιμίγνυσθαι τοῖς ἀνθρωπίνοις πράγμασι, τῇ εὐσεβείᾳ τᾶ ἄνακτος δυσωπέμενον. ἀλλὰ

Πάλιν τότε τὰ τῆς πηγῆς ἤρξαντο θαύματα.

πῶς ἄντις τὴν τῶν θαυμάτων πλημμύραν ἐξαριθμήσαιτο; ὃ δὲ γὰρ εἴμοι δέκα μὲν γλῶσσαι, δέκα δὲ στόματα εἶεν, ἵν' εἴποιμι κατὰ τὸν εἰπόντα, οὐκ ἂν δυναίμην πρὸς βραχύτι φᾶναι, καὶ τὸ πλῆθος ἐξακριβώσασθαι. ἀλλ' οὐδ' ἂν εἰ πᾶσαν τὴν ἐν ἀνθρώποις δύναμιν ὑπερβαλοίμην καὶ φωνὴν καὶ γλῶτταν, οὐκ ἂν ποτ' οὐδ' ἐγγὺς αὐτῶν ἀφικοίμην. πλὴν ὅσα ἡμῖν ἐκ πάνυ πολλῶν ὀλίγα διὰ μνήμης σώζεται λελέξεται. οὐδὲ γὰρ ἄλλως ἐφικτόν γε ἡμῖν τοῖς κατὰ μέρος ἐπεξελθεῖν, καὶ σαγόνας ὑετῶν ὑπερβαίνοντα, ἁπλῇ δέ μοι πάντως ἔσαι, καὶ ἀκατάσκευος ἡ τῶν θαυμάτων τῆς πανάγνου διήγησις, μηδὲν ἐπαγομένη, τῶν ὅσα ταῖς περιοίαις ἐπεξεργάζεσθαι εἰώθασι. ἀποχρῆν καὶ γὰρ αὐτοῖς ἐς κάλλος οἶμαι καὶ μέγεθος, μνήμη δὴ καὶ μόνη τῶν πεπραγμένων, οἵοντι τῶν ἐκ φύσεως ἐπανθεῖν, μηδέν τι κομμωτικῆς περιεργίας ἐπιχρωννύμενον ἔχουσι. πλείσων δὲ θαυμάτων ἐπιῤῥεόντων, καὶ κατὰ θαλάσσας συχνὰς ὡς εἰπεῖν, καὶ αὐτὸ τοῦτο ἕκαστον ἐπειγόντων εἰπεῖν, ἑλοίμην ἂν ἐγὼ τὸ πρῶτον τῷ ἑξῆς βεβαιῶν, καὶ τὴν τάξιν ταῖς ἐνεργείαις ἀποδιδόναι, ὅθεν καὶ τὸ πρῶτον, πρῶτα διηγητέον

Θαῦμα μέ. μοι. Ἀνήρ τις λακεδαιμόνιος, ἔμπορος μὲν τὸν βίον, γυναικὶ καὶ τέκνοις συζῶν, νόσῳ δεινῇ καὶ ἀκέσαι μόνον, κατάχετος γεγονὼς, ἔκειτο. ὁμὲν οὖν πάρχων, Γεώργιος, Μαύλιος ἐκείνῳ ἐπώνυμον. ἡ δὲ νόσος, φαγέδαινα, νόσος εὖ μάλα καταδαπανῆσαι, ᾧ προσφυῆ, ἄρισα ἱκανὴ, ὠμότερον δὲ καὶ τὸν βίον καταφαγεῖν ἰσχυρὰ. ἄρχεται μὲν οὖν τὸ δεινὸν τῷ ἀνδρὶ, ἀπὸ τῶν περὶ τὴν κύσιν μορίων, καὶ αὐτὸ μὲν τὰ πέριξ κατεδαπάνα, καὶ κατήωθιεν ἀπηνέστερον.

ἴσ. ἀνέδην ἀνεδῶς δεμὴν, καὶ κατὰ τῆς αἴδους εἶρπε, καὶ ταύτην πρὸς τὸ δοκοῦν διαθέμενον, μηρῶν τε ἥπτετο ἑκατέρων, καὶ περὶ τὴν κοιλίαν ἀνέτρεχε, καὶ μέγα ἦν τὸ δεινὸν, τὰ κύκλῳ διανεμόμενον· ἀλλ' ὀδέντι ἧττον τῶ πάθους, καὶ οἱ κατὰ τὰ-

τα δὴ

τα δὴ ἀνθισάμενοι ἔπρασσον· ὅσον γὰρ ἐκείνῳ πρὸς δαπάνην ἡσάρξ, τοσοῦτον ἐκείνοις τὴν περιουσίαν ἐκμυζῆσαι ταῖς διακένοις τῶν ὑποχέσεων ἡσπασθή. ἐπεὶ δ' ἡμὲν νόσος ἐπέκειτο τὸν ἄνθρωπον κατεσθίουσα, πρὸς δ' ἰατρὸς ὁ βίος ἐνδεῖν ἐκείνῳ λελόγιστο, καὶ ταῦτ' ἀπενιχρῶς ὡς μάλιστα διακείμενος, πρὸς τάφου δὲ καὶ τὰ λείποντα τῇ νόσῳ ἤδη ὅσον ὅπω ἐταμιεύοντο. ἥτε γὰρ ἐνδοτέρω πλάσις ἅπασα διεφαίνετο, καὶ ὀδύνης ὑπερβολαῖς τὴν ζωὴν ἀπελέγετο, χαίρειν φράσας τοῖς ψευδέσιν ἐκείνων ὕδλοις, καὶ πλάσμασιν, φόρτος τῇ κλίνῃ γίνεται, πρὸς τὸ ὑπὸ γῆν καταφύγιον ἐκφερόμενος, περίπυ τὸν ἔξω λεγόμενον κίονα, τῆς Κωνσταντίνου ἐντὸς, ὅπου καὶ ὕδωρ ἐκρεῖ νοσημάτων ἀλεξητήριον, ἐκ παλαιοῦ καὶ τοῦτο ἀνειμένου τῇ τοῦ λόγου μητρί. ἀλλ' ὕπω διαβασαζόμενος, φωνῆς τινὸς ἐπακοῦσαι λέγεται, παρὰ τὴν πηγὴν ἰέναι λεγούσης, ἐκεῖσε δὴ καταπεφευγέναι, καὶ τὴν ῥῶσιν αὐτίκα μάλα εὑρεῖν· πρύμναν τοίνυν τὸ τοῦ λόγου κρουσάμενοι, ὕπως ἔχοντες ἐπὶ κλίνης τὸν φόρτον, παρὰ τὴν πηγὴν γίνονται, καὶ τετραπλῆς δεκάδος μήπω τῷ νοσοῦντι διηνυσμένης τῶν ἡμερῶν, τὸ πάθος ἐξίσταται, ὁμοῦ γὰρ ὕδατι κατεκλύσθη, καὶ τῷ ἐκεῖθεν κατεχρίσθη πηλῷ, ἐκ ποδῶν τῶν φαρμάκων διαῤῥιφέντων, καὶ ἦν ἰδεῖν τὸ παράδοξον, ἅμα φωτί. ἀπανταχοῦ τοῦ πάθους, οἷά τινας διαυγεῖς φολίδας ὡς νεαζούσης σαρκὸς, κατὰ τῆς ἐπιφανείας ἐξηνθηκίας, καὶ ὥσπερ ὀπὸς ἐκείνας γεγενημένας τῷ λοιπῷ τραύματι. καὶ κατ' ὀλίγον ἀρτιωθεὶς ὁπρώην ἴσα καὶ λίθος ἀκίνητος, τοῖς οἴκοι ἐπιφοιτᾷ, ὡς ἐκ τάφου πᾶσι προσδοκώμενος καὶ ὁρώμενος. ἵνα δὲ μὴ τοσοῦτον ἔργον ὁ μέγας αἰὼν χειρωσάμενος ὡς μὴ δὲ πραχθὲν διάθοιτο, πεποιημένος ἐξίτηλον, καὶ χρώμασι τὰ τοῦ θαύματος ἐντυποῖ τῷ νεῷ, δι' οὗ τὸν αἶνον καὶ ἐς δεῦρο συνάγει τῇ Θεομήτορι. τοῦτο μὲν τοιοῦτον, ἕτε-

ρον

ρον δὲ ἀδὲν ἐκείνε ἔλλειπον τῷ μεγέθει, καὶ θαύματι λέ-
Θαῦμα ν. ξων ἔρχομαι. Ἀνδρὶ γὰρ ἑτέρῳ, σέρραι δὲ ἦσαν ἐκεί-
νῳ πατρὶς, φῦμά τι θάνατον ἐπισεῖον, περὶ τὸν ἄνωθεν
κτένα, ἐκφύεται. ἱκανὸν δὲ καὶκεῖνο τόπον διανεμηθὲν,
περιωδυνίαις ἦν τὸν ἄνδρα σφοδροτάταις ἀλγύνον. τῇ δὲ
προτέρᾳ θαύματος, τῇ φήμῃ ἁπανταχῇ διατρέχοντος,
ἐπεὶ κἀκεῖνον διεπεφθάκει, ὑπόπτερος γίνεται τῷ νεῷ,
καὶ γεγονὼς, τὸ πάρχον τῷ ἐκ τῆς πηγῆς ἀνέψυχεν ὕδα-
τι· τὸ δ' ἀκμάζον μᾶλλον καθεωρᾶτο, ἀμανίτῃ παμμεγέ-
θει τὸ εἶδος παρεσκὸς. μόλις οὖν ὁπήν τινα διανοίγνυσιν,
ἥτις αὔξην κατ' ὀλίγον λαμβάνεσα, εἰς μέγα πλάτος ἐκ-
τείνεται· ἄπορος δὲ τὰ μάλιστα, καὶ ἀκριβῶς πένης ὢν ὁ ἀ-
νὴρ, ἐνδεία τῆ κυβερνήσοντος, καὶ χεῖρα ὀρέξοντος, ἤ-
σχυνε τὰ ἱμάτια ταῖς ἐκκρίσεσι, καὶ μῖσος ἦν τῇ νόσῳ,
πᾶσιν ὁρώμενος, ἅτε τῷ πάθει καθηλάμενος, καὶ ἀκινητί-
ζων. ὁ τοίνυν τὴν φροντίδα τῆ νεῷ ἐπιτεταμμένος, ἵνα
μὴ ἀηδίας ἐμπιπλᾷν ἔχοι τὰς παριόντας, ἐκ ποδὸς ἐκέ-
λευσεν ἑλκυσθέντα, ἔξω πε τῆς αὐλαίας. ὡς τι ἄγος διαῤ-
ῥιφῆναι, καὶ ὁ μὲν ἔῤῥιπτο, ἁμὴν δὲ καὶ τῇ τῆ λόγε μητρὶ
ἀνάξιος εἶναι ἐκέκριτο, ὅσον ἐκ προαιρέσεως οἰκειάμενος·
ἐῤῥιμμένον δ' ὕτω τινὲς τῶν ἐκ τῆς πατρίδος ἐφευρηκότες,
ἐπιμελείας ἠξίεν τῆς προσηκάσης, τῷ τε ἁγιάσματι ἐπι-
κλύζοντες, καὶ ἄλλως τὰ δυνατὰ συναιρόμενοι. τὸ μὲν οὖν
πάθος χρόνῳ τῷ μεταξὺ διεῤῥυηκὸς, τῆς κεφαλῆς ἀποτέ-
μνεται, προσεπαγομένοντι μικρὸν καὶ τε ἥλε, τὸ λεῖπον δὲ
ῥιζωθὲν ἔμενε, δυσαποσπάσως ἔχον τῆς ἕδρας ἐκσῆναι. οἱ
τοίνυν συμπατριῶται, καιρῷ τινι ἐξιόντες τῆς Κωνσαντίνε,
ἅτε δὴ τὸν ἄνδρα μελέτην ποιάμενοι, ἐπεὶ τὸν ἱερὸν βόρ-
βορὸν προσεπιχρίειν ἀδυνάτως εἶχον, κατὰ βάθος γὰρ ὁ
ἥλος ἐῤῥίζωτο, ἄλλως τε καὶ δάκνων ἦν ὡς μάλα τῷ ὑγρῷ
πεφυρμένος, τὸν βόρβορον τῆ ὑγρᾷ διατμίζοντες ἐπὶ ζῶσι
τοῖς

τοῖς ἄνθραξι καὶ εἰς χᾶν ἐκλεπτίνοντες, εἶτα καλάμῳ τὴν
κόνιν ἐμβάλλοντες, καὶ πνοῇ πραείᾳ διαφυσῶντες, τὸν ἐν-
δοτάτω ἥλον ἠρέμα κατέπασον, καὶ μετ' ὀλίγον συσσα-
πέντων αὐτῷ τῶν ῥιζῶν, ἐξ αὐτῶν κρηπίδων καταπίπτει
ὁ ἥλος, σεσημμένον τι κρέας μέλαν, καὶ ὀδωδὸς, βαρεῖαν
ἀποφορὰν προϊέμενον. τάτε δ' ὡς εἴρηται ῥιζόθεν ἀποσπα-
θέντος, σάρξ ἐπέτρεχε, καὶ ἀνέβαινεν, τᾶ χοὸς, ὡς οἶ-
μαι, μεταστοιχειωμένα πρὸς σάρκα, τᾶτο δὴ τὸ παράδο-
ξον, ἀπολὺ γὰρ τὸ μέσον, καὶ τὸ διαλεῖπον ἐκεῖνο ἠρέμα
χάσμα ἄρτιον διεδείκνυτο, πηλῷ καὶ ὕδατι τοῖς ξένοις
φαρμάκοις ἀναπληρώμενον, καὶ τῆς νόσε θᾶττον ἀπαλλα-
γεὶς ἀνεχώρει, θεῷ καὶ τῇ αὐτᾶ μητρὶ, πλατεῖ τῷ σώ-
ματι ἐπευχαριςῶν. Ἕτερος πάλιν ἐκ ἀαφνεσίας ὁρ- Θαῦμα
μώμενος, νῆσος δὲ αὖτη, ἐς δεξιὰ εἰσπλέοντι τὸν εὔξει- νά.
νον πόντον διακειμένη, ἅτος τὰ περὶ τὴν ἕδραν πλαγεὶς,
τὸ παχὺ χωρίον ἔχε διάτρητον, ἔνθεν τάτῳ ἡ ἔκκρισις,
ἃ κατὰ φύσιν δίεισι, ἀλλὰ περὶ τὴν ὀπὴν τᾶ χωρίε τάτᾳ
ἑλιβομένη, ἐφέρετο, ὅσην δ' εἶναι τὴν ὀδύνην εἰκὸς, χρεὼν
ἐκλογίζεσθαι. χρόνος ἀπολὺς ἐῤῥύη τῷ ἀῤῥωςήματι, καὶ
σήπεται μὲν τὸ κατὰ τὴν ἕδραν ἅπαν αὐτῷ, ἀλλὰ καὶ τὸ
ἧτρον αὐτὸ διεῤῥάγη πεσόν. ἡ δὲ κόπρος αὐτομάτη ἐξέῤ-
ῥει, τᾶ συνέχειν λαχόντος, ὥς περ ἔφην, διαῤῥυέντος,
τί τὸ ἐπὶ τάτοις; τῶν φυσικῶν ὀργάνων διαλυθέντων, καὶ
ἰατρῶν ἀπείπε τέχνη, τὸ ἐγχειρεῖν, θεῷ δὲ μόνῳ, τὰ
τῆς νόσε εἶναι ἐπιτρεπτέα διέγνωσο. οἱ προσήκοντες οὖν
ἐκεῖνον διαβασάσαντες, παρὰ τὸ ζωήῤῥυτον ἄγασιν ὕδωρ·
ἐπὶ τόσον δὲ τὸ σεσηπὸς ἴσχυσεν, ὡς μὴ μόνον σαρκὸς
φείσασθαι, ἀλλὰ καὶ τὸ περὶ τὴν ἕδραν ὀσᾶν, ὃ ἱερὸν ἐπι
κέκληται, διαῤῥῆξαι, καὶ τᾶ φυσικᾶ διασπᾶσαι συνδέσμε,
ὅθεν καὶ δεῆσαν τὸν ἄνδρα κατακλιθῆναι, ἡγυνὴ, ἑκατέ-
ρᾳ τοῖν ποδοῖν ἁπτομένη, εἰς ταὐτὸν ὁμᾶ συνῆγε, καὶ δεσ-
μοῖς

μοῖς τισιν ἔσφιγγεν, ἄνωθεν, ὥσπερ βρέφος κειρίαις, διαλαμβάνουσα τῇ κοινῇ φαρμάκῳ, τῇ καθαρᾷ δηλονότι βορβόρῳ μόνον, προσεπιβάλλουσα τῇ πληγῇ, ἢ τῷ χάσματι, ὕτω δὲ πράττουσα, ἢ πίσεως δάκρυσι τὸν πηλὸν ἀναφύρουσα, συνδεῖ πρῶτον μὲν, τὸ διαῤῥυὲν ὀστᾶν ἐκεῖνο τὸ ἱερὸν, εἶτα νεῦρα, ἢ σάρκες, ἢ μῦες ἀνέβαινον κατὰ τὸ ἐν τῷ Ἰεζεκιὴλ εἰρημένον. πρὸς δὲ καὶ τὸν ἦτρον ἀρτιωθεὶς, ἢ ἀπαθὴς κακῶν ἁπάντων ὡς τάχισα γεγονὼς, οἷ καδε ἴετο, τῶν μελῶν ἐκείνῳ πρὸς τὸ τέλειον διαγενομέ-
Θαῦμα νβ'. νων. Τὸ δὲ κατὰ τὸν λωβὸν, πῶς ἄντις ἀνάσχοιτο σιωπᾷν. ἕτος τ' ἄλλα μὲν ἦν ἀνὴρ ἀγαθὸς, πενίᾳ δὲ βαθείᾳ συνεζηκὼς. πρὸς τῇ πενίᾳ, ἢ κακῶν ἔρατον, ἱερᾷ περιπίπτει νόσῳ, ἡ δὲ τὸ μὲν προσώπῳ πρῶτα παντὸς ἐπελάβετο, ἢ πονηροῖς τοῖς ἕλκεσιν ἔβρυεν. ἐπέσκηπτε δὲ καὶ ἀκρωτηρίοις ἤδη, ἢ ταῖς ἁρμονίαις ἐν βραχεῖ προσεφύετο. κίνδυνος δὲ ἦν περιαιρεθῆναι τάτῳ τὰ μέλη, ἥλκωτο δὲ ἅπας, ἢ τῇ νόσῳ τὸ πλεῖσον ἀνάλωτο. ἀλλὰ παρὰ τὴν πηγὴν γεγονὼς, τῷ τε ἁγιάσματι διασμήχων τὰ ἕλκη, καὶ ἀναξαθαίρων, σβέννυσι μὲν ἐκεῖνα χρόνῳ πολλῷ, ἢ τὴν πονηρὰν ἐπέχει τῆς ἀηδίας πηγήν. μιᾷ δ' ἐξιὼν, ἢ ῥέμα παρὰ τὴν ἔκροιαν τοῦ ἁγιάσματος γεγονὼς, ἱκανῷ δὲ διασήματι διέχει αὖτη δὴ τοῦ νεῶ, περιδύεται τὰ ἱμάτια. ἀνηρέθιζε γὰρ αὐτὸν ἡ ἔφεσις λόσαθαι, ὁμᾶ μὲν ἀναψύξαι τὸ σῶμα διανοούμενος, ἁμὴν ἱκανήν γε εἶναι ἐκ νόσου πρὸς ὑγιείας μεταβολὴν, ἢ τὴν ἐκροὴν ὑπολογιζόμενος· ὁμὲν οὖν ἐλάσετο, ὑσσώπῳ τινὶ καὶ καθαρτηρίῳ ἄλλως, τῷ ἐκεῖδεν πηλῷ, ἢ ταῖς παραφυομέναις τῶν βοτανῶν, πρὸς ἀνατριβὴν χρώμενος, ὕτω δ' ἐπὶ πλεῖσον διαπραξάμενος, ἀ πηλῷ καθαίρει μόνον τὸ τῆς παροιμίας πηλὸν τὸ παράδοξον, ἀλλὰ καὶ τὴν λώβην ἅπασαν ὥσπέρ τινα λεβηρίδα τῷ ὕδατι ἐπαφίησι, ἢ ὑγιὴς ἀνατρέχει,

χει, ὑπερφυῶς τρυγήσας τὴν θεραπείαν, μικρᾶ διαπισῶν ἑαυτῷ, εἴτι μέτεσιν ἐκείνῳ, τᾶ εἰς τὴν ἔκροιαν κατιόντος. ὕτως ὑπερβαῖνον τὸ θαῦμα, ἢ φύσιν ἅπασαν ἐν δευτέρῳ τιθέν. λέγεται μέντοι ὡς πολλῷ τῷ μέσῳ χρόνῳ πάλιν ἐξανθεῖν πειρωμένων τῶν οἰδημάτων, παρὰ τῷ τόπῳ γενόμενον, ἢ λεσάμενον τῷ ὑγρῷ, τὴν νόσον αὖδις ἀναξηράναι, τᾶτο δὴ τὸ καινότατον. Νίκαια πόλις τῆς Βιθυνίας ἐστὶ, τοσᾶτον κάλλει, ἢ μεγέθει, ὄγκῳτε κτισμάτων, ἢ οἰκοδομημάτων διαπρεπὴς, ἢ πολὺ προβεβλημένων τὸ θάῤῥος, ὡς νικᾶν ἐξεῖναι τάτοις πᾶσαν αἶαν, ἀλλὰ δὴ καὶ τοῖς παρ' ἑαυτῆς ἄλλοις, ὅσα ὡρῶν εἰσὶ δῶρα, ἢ οἷόν τι γῆς ἁπάσης ὡς εἰπεῖν ἀφροδίνιον· λίμνη δέ τις αὐτὴν ὑπερφυὴς ἐπιτρέχει, ἀσκανία ταύτῃ τὸ ὄνομα· ἥτις δὴ ὥσπερ ἐπαγαλλομένη τῇ πόλει, σύρεται μὲν ἐκ μακρᾶ πλατεῖ καὶ ἡ σύχῳ, ἔσι δ' ὅτε καὶ βαγδαίῳ τῷ ῥεύματι, παραψάυσα δὲ τῶν τειχῶν, ἢ ὥσπερ ἀσπαζομένη ταύτην, πάλιν εἰς τὰπίσω ἀναβάδην χωρεῖ, ὡσανεὶ ἐνδεικνυμένη τὸ φίλτρον καὶ ἐναβρυνομένη, ὅτι αὐτῆς ἐσί. περὶ δὲ τὰς ὄχθας ἑκατέρας τῆς λίμνης, παμπληθεῖς προσοικᾶσι κῶμαι. γῆ πρὸς πᾶσαν ἀρετὴν ἐῤῥωμένη, ἀγαθὴ μὲν πρὸ παντὸς ἀρῶσαι, οἴνῳ δὲ, ἢ ἐλαίῳ τὰς περιοίκους, εὐφραῖναί τε καὶ διαλιπῆναι πρὸς τοῖς ἄλλοις χρησοῖς, ἀρίση. μία δὴ τούτων, ἢ ἡ ὕτω πως λεγομένη κατοικία γνωρίζεται· ἐκ ταύτης τοίνυν τῆς κώμης, γυνή τις παιδίῳ ἄῤῥενι συζῶσα ἑνὶ, ἢ τάτε διαζυγῆναι ἠνάγκασε, πάθος ἐξαπίνης τῷ ἀσραγάλῳ τᾶ παιδὸς κατασκήψαντος, ἄνθρακα τὸ πάθος ἰατρῶν φασι παῖδες· ἔπασχεν οὖν ὁ παῖς ὡς ἐξ ἕδρας εἶναι συμβαίνειν τὸν πόδα· τὸ δὲ φλέγον ἄχρι καὶ εἰς μυρὸν ἀνίη, ἢ πρόσω ἤδη χωρεῖν κατηπείγετο, ταῖς ὀδύναις ἐκβιαζόμενον· ἀλλ' οὐδέν τι ἧττον καὶ ἡ μήτηρ τὰ σπλάγχνα ἐκπυρσμένη ἐφλέγετο.

καὶ

καὶ τὶ γὰρ εἰ μήτηρ ἦν, ᾗ ἐπὶ παιδί μόνῳ τὸν βίον σαλεύσα· ὡς δὲ τέχναι πᾶσαι ἡ μαγγανεῖαι δεύτερα τῆ ἀνθρακος ἐξηλέγχοντο, τῆτον λαβῆσα πρόσεισι τῇ τῶν ἰαμάτων πηγῇ· ταύτην γὰρ ᾤετο σὺν λόγῳ ἀντισήσειν τῷ ἄνθρακι· τὸν δὲ ἰδόντα λωφῆσαιτε τῆ δεινῆ αὐτίκα, ᾗ τὴν ὁρμὴν κατασβέσαι, τῇ ἐνέσῃ ῥώμῃ ᾗ ἀντιπαθείᾳ τῆ ὕδατος, ᾗ τῆ σκοπῆ διήμαρτεν ἀδαμῶς. τὸ μὲν γὰρ ὕδωρ περικλύζον, τὴν τῆ ἄνθρακος ὁρμὴν ἀνεχαίτιζεν. ἡ δ' αὖ ἐκεῖθεν ἰλὺς τὰ σεσηπότα διακαθαίρασα, ἐξεφόρει, ᾗ τὸ χωρίον ἐλλεῖπον ἐπλήρα σαρκὶ νεαρᾷ. βραχυτάτε τοίνυν χρόνε παραῤῥυέντος, τὸ πάθος ἐσβέθη ταῖς τῆ ὕδατος συχναῖς ἐπικλύσεσι, μήτε τὴν ἁρμονίαν διασαλεῦσαν, ᾗ τὰ νεῦρα κατὰ χώραν μένειν ἐάσαν, διάπυρον δὲ τὸν αἶνον, ᾗ οἷον αἰθέριον ἀναπέμψαι παρασκευάσαν, τῇ ἀληθινῇ τῆ ζῶντος λόγε πηγῇ. Πῆ δὲ δίκαιον τῷ λόγῳ, ᾗ τὰ κατὰ τὸν λεπρὸν Θεόδωρον παριδεῖν, ᾗ ταῦθ' ἅτως ἱκανῶς τῆς Θεομήτορος εὐμενές τι, ᾗ ἵλεων προσιδέσης αὐτὸν. ἕτος ὅθεν μὲν, ᾗ ὅς τις τοῖς ἀκριβώσασιν ἄδηλον. λέπρα δ' ἦν κατὰ προσώπε αὐτῷ ἐξανθήσασα, ἄμορφόν τε ἐδείκνυ, ᾗ τέρας οἷον ὁρώμενον, ἔνθεν ᾗ πᾶν μὲν ἰατρεῖον αὐτῷ βάσιμον, ἀλλὰ μηδὲν πλὴν λόγων ὀνάμενος, ᾗ ἅτος πρόσεισι τῇ τῶν ἰαμάτων πηγῇ. ᾗ ἐπεὶ τὸ πάθος ἀκμάζον μᾶλλον καθεωρᾶτο, ὅσον δέ ᾗ λεῖπον τῆ ὑγιᾶς προσνεμόμενον, ὅρκῳ τὴν Θεομήτορα κατελάμβανε, μή ποτε παρ' ὅλον αὐτῷ τὸ βιώσιμον κρέως ἅτινοσῆν παραγεύσαθαι, εἰ τὴν λέπραν μόνον ἀπανθήσασαν τῆς σαρκὸς διαγνοίη, εἶπε, ᾗ ὕδατι τῷ ἐκ τῆς πηγῆς τὴν σάρκα καθίσα διάβροχον, ᾗ μετ' ὀλίγον ἐξίτηλος μὲν ἡ λέπρα γίνεται, μικρὸν δ' ὕστερον καὶ παντάπασιν ἀπανθεῖ, μηδέν τι λείψανον τῷ προσώπῳ ἐπαφιεῖσα. ὁ δὲ Θεόδωρος μετὰ τὴν ὑγιείαν, ἐκ οἶδα, εἴτ' ἀγνοήσας, ἢ καὶ ἄλλως

Θαῦμα νδ'.

λως ἐν παροράσει τὰ τῶν ὅρκων ἀ καλῶς διαθέμενος, τῆ κρέως ἅπτεται πάλιν. ἡ δὲ νεκρὰ τέως, ᾗ αὖθις ἀναζῇ νόσος, ᾗ τὴν σάρκα σύμπασαν διατρέχει, ᾗ τὰ ἔσχατα, χείρονα τῶν πρώτων ἐγγίνεται, ᾗ ἅτως ἂν ἐς τέλος διέμεινε, σμικρᾶς ἡδονῆς τὴν νόσον ἀνταλλαξάμενος, καὶ τῆ ψεύδας ἀπολαύσας τῷ τὰς ὅρκας παρ' ἀδὲν θέσθαι τὴν διὰ βίε αἰσχύνην, ὅτι λεπρὸς, ᾗ ὅτι ἑκὼν εἰς τὴν νόσον παραπεσὼν, εἰ μὴ πάλιν τὰς ὅρκας ἐμπεδωσάμενος, τὴν λέπραν ὡς χρεὼν ἀπεξύσατο. τέτῳ δὴ προσθήσω καὶ ἕτερον, ὡς ἄνγε εἴη, μὴ ἐκ τέ προχείρε τοῖς πλείοσις συγχέειν αἱρεῖσθαι τὰς ὅρκας, μηδὲ νωχελῶς αὐτῶν πρὸς ἄνυσιν διακεῖσθαι, ἀλλὰ σέργειν ὅτι μάλα, τῷ φθῆναι ὑπεσχημένον πειρᾶσθαι, ἢ ἀπώμοτον εἶναι παντάπασιν. οἱ γὰρ πολλοὶ τῶν ἀνθρώπων συμφορᾶις, ᾗ νόσοις, ἔσι δ' ὅτε, ᾗ σκληροῖς ἐξεταζόμενοι κλύδωσιν, ἀφίσασθαι μὲν τῶν φάυλων ἅπας κατατίθενται, ᾗ ὅρκοις ἐμπεδῶσι τὰς ὑποχέσεις, θεόν καὶ τὴν συνείδησιν ἔχοντες μάρτυρα. τῶν γεμὴν πιεζόντων, ἀμηγέπη διαλυθέντων, ὥσπερ ἐπιλελησμένοι τῶν συνθηκῶν, ἐπὶ τὰ συνήθη ᾗ πάλιν χωρῶσι, τὴν φύσιν πρόφασιν εὐπρόσωπον ἔχοντες, κἄν τῷ μέλλοντι τῶν αἰσχρῶν ἀφεσάναι, εἰ θεᾶ τύχοιεν ἵλεω, πάντως διασκοπέμενοι. ἀλλὰ τὸ θεῖον ἄκουν ὡς ἐπίπαν ἀπατᾶσθαι φιλεῖ· ὃς μὲν γὰρ ἐκεῖσε δὴ ταμιεύεται, πολλοῖς δὴ ᾗ κατὰ πόδας τὴν δίκην ἐπάγει· τοιῆτον δή τι διήγημα τῷ λόγῳ νῦν ἔσαι, ἢ πεῖσον ἥκισα χρῆσθαι τοῖς ὅρκοις, ἢ τοῖς φθάσασι πέρας αἴσιον ἐπάγειν βιάζεσθαι, ἔχει δὲ ἅτω. Γύναιόντι τῶν ἐκμαγρωπείε λελαγνευμένον, εὐφυὲς τὴν ὄψιν, ᾗ τὰ μάλιστα διωμιλημένον, ἀπὸ πείρας τε ἰταμὸν, ἐπ' ἐργασηρίε τὰ τῆς ἀκολασίας διεχειρίζετο, ἀποδιδομένη τὴν ὥραν, τοῖς ἀκολασαίνειν ἡρημένοις ἀνδράσι, ᾗ τοῖς ὅθεν δή ποτε ἥκασι συνδυαζομένη.

Θαῦμα νε'.

ἐς τοσοῦτον δὲ τὸ σῶφρον ταύτῃ δεδιλαγώγητο, ὡς ἑταιρίας ἤδη τῆς μισητῆς προεσάναι, καὶ ἱκανὴν γε εἶναι ἀντικαθιζᾶν ἑτέρας τῷ ἔργῳ τοῖς βιλομένοις, καὶ παιδοτριβεῖν τὰς ἐν ἡλικίᾳ, ἔνθεν αὖτη τῆς ἀκολασίας τῷ ὑπερβάλλοντι τὰ ὑπογάςρια πλήττεται, καὶ ἀδεμία ἦν ἐκείνῃ τῆς νόσε φροντίς, ὅτι γε τῶν συνήθων, καὶ φίλων ταύτῃ ἔργων ἀπείχετο· ὅτω δ' ἔχεσα πονήρως τῶν παιδικῶν, ὀγκᾶται κατ' ὀλίγον τὴν μήτραν, καὶ τὴν κοιλίαν διαφυσᾶται, ἠρέμα δὲ καὶ σύμπασαν τὴν πλάσιν ἐξωδηκυΐαν ἦν μετὰ βραχὺ καθορᾶν, ὑδέρῳ δὲ ἄρα τὸ πάθος προσεοικὸς ἦν. τέτοις δὲ τὸ γύναιον αἰφνιδὸν ἐμπεσὸν, ἠσχαλλεν, ἠνιᾶτο, καὶ τῇ κακῇ τὴν λύσιν ἐπραγματεύετο. ἀμέλει, διεγνωκός ποτε, ὡς τῆς ἀσελγείας ἔλεγχος ταῦτα, καὶ τῶν πρώην φαύλων ἡδονῶν ἀποτέλεσμα, βελὴν βελεύεται συνετὴν, εἰμὴ τὰς συνθήκας διαφθείρειν εἶχεν ἐς ὕςερον· πρὸς γὰρ τὴν ἀγνὴν, καὶ ἄμωμον καταφεύγει παρθένον, καὶ παρὰ τὴν κρύπτην δὴ τῆς πηγῆς γενομένη, ὅρκοις κατησφαλίζετο, μὴ ἄν ποτε τὴν ἐν μαςρωπείῳ ἀσπάσασθαι δίαιταν, εἰ τὸν ὄγκον ἀποβαλεῖν αὐτῇ ποτε γένοιτο, μὴ δ' ἐς αὖθις βλαγωγεῖν ἐλέσθαι τὸ σῶφρον, ἀλλὰ τῇ περὶ θεὸν ἀσχολίᾳ, καὶ τὰ πρώην, ὡς ἐνόν γε, διακαθάραι· ἔμεινεν οὖν τῷ νεῷ παρεδρεύσα, κυλίνδρῳ παμμεγέθει προσεοικυῖα, ἡ γεμὴν χάρις ἔτι, καὶ τὸ τῆς ὥρας ἰταμὸν ταῖς ὄψεσιν ἐπεκάθητο. ταύτην δὴ καὶ αὐτὸς κατεῖδον πολλάκις παρὰ τὴν Θεοτόκον ἰών, ὑπερπληθές τι τέρας παρὰ τῷ νάρθηκι κατακείμενον, καὶ πρὸς λόγους ἦλθον, καὶ τὸ πάθος ἐξ αὐτῆς δῆτ' ἀνέγνων διηγεμένης· ἔλεγε δέ μοι καὶ διετείνετο, ὡς ἡ ζώνη ταύτῃ τῇ συνήθες ἐκτὸς, ἐς ὀργειάν πε μάλιςα μίαν, καὶ μικρόν τι πρὸς, παρεκτέτατο· ἐς τοσοῦτον ὑπερβολῆς ὁ ὄγκος ἐκείνῃ ἐπῆρτο, ἄπω δέ τριπλῆς δεκάδος ἡμερῶν ταύτῃ ἀνυομένης τῷ χώ-

χώρῳ, ἀεὶ τῇ ἁγιάσματος ἀπογευομένη, μιᾷ πρὸς ὄρθρον, γυνήτις σκύφον νάματος πλῆρες ταῖν χεροῖν ἐπιμένη, ἐδόκει ταύτῃ ὀξέως ἐφίσασθαι· ἐνῆπται δὲ αὐτῇ καὶ κρηπὶς τοῖν ποδοῖν ἑκατέρῳ, καὶ ταύτην διαῤῥαντίσασα, καὶ κατὰ τῇ ςόματος αὐτῆς ἐπιχέεσα, ὤχετο αὖθις. ἣδ' εὐθὺς διαθρουθεῖσα, τὸν ὕπνον ἀπετινάσσετο. ἑώρα δ' ἐκείνην εὐσαλῶς ὑποτρέχεσαν, καὶ τὰς κρηπίδας ἠρέμα τῷ φεύγειν δῆθεν διατυπᾶσαν, καὶ μετ' ὀλίγον τῆς γαςρὸς αὐτὴν νυξάσης, ἐκφέρεται. ὑγρᾷ δέ τις ἄπειρος σύῤῥοια κατέῤῥει τῶν εἰωθότων μελῶν, καὶ ἀέρος δεινόντι χρῆμα ἐκφυσωμένε. ὁ μὲν οὖν ὄγκος ἐλώφα τῇ ὑγρᾷ θλιβομένε. ἡ δὲ ζώνη, ἐς ἥμισυ ὀργειᾶς αὐτῇ συνεςάλη, εἶθ' ἡμέρας, καὶ πάλιν νυκτὸς, τὰ ὅμοια διεπράττετο, καὶ τί δεῖ τὰ πολλὰ λέγειν, ἐς τοσοῦτον ὁ ὄγκος ταπεινός τε ἦν, καὶ ἐφ' ἡμέραις εἴσω συννεύων, ὡς μὴ ἄν ἑλέσθαι τινα πιςεύειν ἰδόντα, ταύτην εἶναι τὴν πάχεσαν, ὃ δὴ καὶ αὐτὸς ἐπεπόνθειν, ἐφ' ὁδῷ παριᾶσαν ἰδών, ὑπὸ κατεςαλμένῳ καὶ σωφρονοῦντι βαδίσματι. ὅτω παρὰ δόξαν ἡ πάναγνος τοσοῦτον τεράςιον ἄρισα, καὶ τελεώτατα διεπράξατο. ἀλλὰ τὸ ἑξῆς σκοπεῖτε τῇ διηγήματος· ἔχει γάρ τι καὶ ἕτερον, πολλῷ τῇ προτέρε παραδοξότερον· ὡς γὰρ παντελῆς ὑγιείας ἡ Ἄννα ἀπήλαυσεν· ὅτω γὰρ τὸ γύναιον κατωνόμαζο, κρεμαςὴ δὲ ἦν αὐτῇ τὸ ἐπώνυμον, χρόνος λίαν ἐπίβραχυς ἐμέτρει ταύτῃ ἐῤῥωμένας τὰς τῶν ὅρκων συνθήκας. συμβαίνει γάρ πως δυσχερὲς παντάπασιν εἶναι, χρόνῳ βεβαιωθὲν πάθος, καὶ μονιμώτερον ἐπιβρίσαν ῥᾳδίως ἀναχωρῆσαι, τῆς μνείας ἀεὶ τὴν ἕξιν ὑποδελεγέσης πρὸς τὰ συνήθη, ἄλλως τε καὶ ὅρκον διενεγκεῖν ἐντελῆ, ἐκδαπανηθέντων χρόνων τῶν βιασαμένων πρὸς ταῦτα, ἃ ἐν ἅπασιν εὐπετές· ἀμέλει κἀκείνη παρ' ἠδὲν ἐνομίζετο, ὅθεν καὶ κύων ἦν, ἐπὶ τὸν ἴδιον ἔμετον ἀναςρέφεσα, ἔργωντε

γωντε ἥπτετο τῶν συνήθων, τὰ τῶν συνθηκῶν ἐν δευτέρῳ δῆτα θεμένη. πάλιν τοίνυν περιγραφαὶ, καὶ ἐπίβλα χρώματα, ἐπαγωγόν τε μειδίαμα, καὶ παρεπιστροφαὶ συνεχεῖς, καὶ λίχνον ὄμμα παρακλέπτον τὸ νόθον κάλλος, καὶ εὔωνον, καὶ νεανίσκων ἐσμὸς περὶ ταύτην, τὴν ἀλλοτρίαν ὥραν ἀποτρυγῶντες, καὶ τὴν αἰσχίστην μισητίαν διαπραττόμενοι, λόγοι δὲ ἄλλως αἱ συνθῆκαι ἦσαν, καὶ ἡ τῶν ὅρκων ἀσφάλεια τέθνηκε. ἵνα δὲ μὴ τὸν ἔλεγχον ἐκ τῆ σχεδὸν ἔχῃ τὸν τῆς Θεομήτορος δηλαδὴ οἶκον, τὴν Κωνσταντίνα λιπῆσα ἔξεισι, καὶ περίπα τὴν βιζύην γεγενημένη, τῆς συνήθους, καὶ φίλης εἴχετο ἑταιρίας. χρόνα δὲ τῷ μεταξὺ τριβομένα συχνᾶ, ὡς ἄν οἶμαι τῶν φαύλων ἀποσχομένη, καὶ τῆς δολοπρεπῆς ἁμαρτίας τῶν ὅρκων γένηται, ἐπεὶ μὴ τᾶτο καθεωρᾶτο διαπραττομένη, πάλιν ἐπίσης τὴν γαςέρα διαφυσᾶται, καὶ εἰς μείζονα τὸν ὄγκον ἐπαίρεται, καὶ ἅτως ἱκανῶς τῇ σφετέρᾳ μάσιγι αἰσχρῶς ἐμπομπεύσα, διαρρήγνυται, πολλῷ δ' εἰπεῖν οἰκειότερον, ὅτι καὶ τὴν αἰσχρὰν ψυχὴν ἀπορρήγνυσιν, αὐτὴ ἐφ' ἑαυτῆς τὸ τοσᾶτον δεινὸν ἐπισήσασα, τῷ τῶν ὅρκων ἀμελῆσαι, καὶ τὸ θεῖον ἅτως ἀργὸν πρὸς δικαίαν εἶναι κόλασιν ἐκλογίσαθαι. καὶ τᾶτο δ' ἴσως προθεῖναι, τῶν ἀναγκαίων, συγγενὲς τοῖς προλαβᾶσιν ὑπάρχον, καὶ χάριεν· ἔχει δὲ μετὰ τᾶ χαρίεν εἶναι, καὶ ἀπαλλαγὴν ταχυτέραν. Θαῦμα νύ. Ἀνὴρ γάρ τις τῆς Κωνσταντίνα ὁρμώμενος, σμικρὰ δ' ἄλλως πράττων, καὶ ἀδρανεῖς ἐντεῦθεν τὰς τᾶ βίᾳ ἀφορμὰς πορίζόμενος, ὑέλωπι πάθει περιπεσὼν, ἤχαλε μὲν τὰς ὀδύνας ἐχ οἷός τε ὢν φέρειν, πολλῷ γεμὴν ἠνιᾶτο, ὅτι μὴ τὰς ὄψεις ὑπεργάσας εἶχε τοῖς ἔργοις. ὑγρὸν γάρ τι ἐκ παχυτέρας ὕλης, τῶν κάτω ἀνατμιᾶθεν, καὶ περὶ τὴν κεφαλὴν ςηριχθὲν, ἔμεινε ταῖς ἀναθυμιάσεσι παχυνόμενον, καὶ δριμύτητος ἐκ ἐλάχιςον προσλαμ-

λαμβάνον, εἶτ' ἀπορρεῦσαν ἐκεῖθεν, τοῖς κανθοῖς τῶν ὀφθαλμῶν ἐπισκήπτει· ἐπίχυσιν δὲ οἷα εἰκὸς προσλαμβάνον, ἐπιτρέχει τὴν κόρην, καὶ ταύτην ἀφαιρεῖται τῆς ὄψεως, μὴ ἐῶν τὸ ἀπορρέον ταύτης φῶς ἐξιέναι· ἐκεῖνο γὰρ ὑμένος δίκην τὴν κόρην ἐπιδραμὸν, ὥσπέρ τι νέφος παχύτερον, καὶ σαρκῶδες, ἐπιπροσθεῖ, μὴ τὸν ἥλιον τῆς ὄψεως ἀποπάλειν τὰς ἀκτῖνας παρασκευάζον. εἶχε μὲν ἅτω ταῦτα, καὶ σκότος βαθέος ἄκων ἦν ἀπολαύων, ἐν πολλῷ τῷ φωτὶ, ἀνεωγότων τότῳ τῶν ὀφθαλμῶν. τὸ γεμὴν δριμὺ τῆς ὀδύνης, καὶ δάκνυον ἀπέβλυζε πονηρὸν, λήμης ὅσης τὸ περιλειπόμενον τῶν ὄψεων ἐμπιπλῶν. ἐπεὶ δὲ παισὶν ἰατρῶν ἀπηγόρευτο, ἐς τοσᾶτον γὰρ ἐκείνοις ἐπαγγελία φωτός, ἕως ἃ καὶ χρυσίῳ τὴν τᾶ πένητος χεῖρα καταλαμπομένην ἑώρων· ὡς δ' ἐκ ἦν ὀσφραίνεσθαι τῆς ὀσμῆς τᾶ χρυσίᾳ, καὶ ῥοῖζος ἔτις περιήχει τότων τὰ ὦτα, τῶν ἐνγῆ φαρμάκων πάντων τὸ δραςικώτατον, τῶν ἐλπίδων παντάπασιν ἀποχόμενοι, τὴν τῆς δαπάνης ἔνδειαν ἐν αἰτίαις θέμενοι, ᾧχοντο, ὑπὲρ τέχνην εἶναι τὸ πρᾶγμα διατεινόμενοι. ἀλγυνόμενον δὲ τὸν ἄνθρωπον ἰχυρῶς κατιδών τις ἀνέπειθεν, ἀπολιπόντα τέχνην ἅπασαν, παρὰ τὴν ἁπλῆν καὶ ἄμισθον ἰατρείαν γενέσθαι. ἦδε ἦν, ὕδωρ τὸ ἐκ πηγῆς. ὁ δ' ἅσμενος τὴν εἰσήγησιν δέχεται, καὶ ὑπὸ χειραγωγῷ τινι, καὶ σκίμπωνι ἐναπερειδόμενος, τῆς Κωνσταντίνα, καὶ πάντα θέμενος ἐνδευτέρῳ, ἔξεισιν, αὐτίκα τῷ ψαῦσαι ἀδισάκτως τᾶ ὕδατος, οἰόμενος καὶ τὸ τὴν ὄψιν λυπᾶν ἀποξέσασθαι, καὶ οἷ ποδῶν εἶχε, τὴν πορείαν κατέτεινε. γεγονότι δ' ἔνδα τὸν νεὼν τῆς Θεομήτορος διαγινώσκειν δυνατὰ ἐςι τῷ παντί, τηνικαῦτα τᾶτον ὑπ' ὄψιν διέγραφεν, εἶτα καὶ λαμπρότερον καθεώρα, καὶ ἕως ἃ πλησιάσειε, σύμπαντα καθαρῶς ἑώρα τὸν χῶρον, ἐπιεικῶς τε τὸν νεὼν ἀνεμέτρει, καὶ βλέπων ἦν ἀτεχνῶς. ἐπεὶ δὲ καὶ

τᾶ

τῆ ὕδατος ἀπορροφήσεις, ᾗ νίψαιτο, ἁπλανῶς ἑώρα, ᾗ ἀδιάψευστον εἶχε τὴν ὄψιν, τῆ πιέζοντος ἰσχυρῶς, ἀλλὰ δὴ καὶ τῆ παχυτέρᾳ ὑμένος, τῷ ὕδατι διαῤῥεύσαντος, ᾗ τόσον τὸ ἐπισαῖνον ἐκεῖνο πάθος ἐπεχωρίασε, καθόσον καὶ τὸ τῆς ὁδῆ συνετελέσθη διάσημα. ὅτω πίσεως ἀκραιφνῆς δεῖ τῷ αἰτῆν τι, μηδενὸς ἀμφιβόλε τὴν διάνοιαν ὑποτρέχοντος. τυφλὸς γοῦν οἴκοθεν ἀπάρας, ᾗ τὸν χρόνιον σκότον τῷ ὕδατι ἐπαφείς. φαιδρὸν ὁρῶν, ᾗ τῆ πρώην φωτὸς διαυγέστερον, οἴκαδε γίνεται, φωναῖς μεγάλαις τὴν τῆ φωτὸς μητέρα, λαμπρῶς εὐφημῶν. Ἔλκει δὴ τὸν λόγον πρὸς αἶνον τῆς Θεομήτορος, ᾗ Ἰωάννης ὁ βάραγγος, Ῥοδέλφος τάτῳ ἐπώνυμον. ἴσε πάντες ᾗ διηγεῖσθε τὰ ἐπ' αὐτῷ πεπραγμένα τῇ Θεομήτορι· ἃ δ' εἰπεῖν γὰρ ἔδει τὰ κατ' αὐτὸν, πάντων τὰ ὦτα διαλαβόντα τῷ τῆ τερασίε ὑπερφυεῖ, ἀλλ' ἵνα μὴ καὶ τοῖς ἐπιγενομένοις ὁ χρόνος ἀκ ἐλαχίςῃ κατασαίη ζημία, εἰωθὼς ἀεὶ σιωπᾶν, ᾗ κρυφαῖα καθιςάνειν τὰ πράγματα, ᾗ τᾶτο τοῖς εἰρημένοις προσθήσομεν· ἔτος τῷ ἐμῷ βασιλεῖ κατὰ τὴν ἕω ἑτεροσόμῳ πελέκει κατ' ὤμων ἐσηριγμένῳ ὑπηρετέμενος, νόσοις διαφόροις τεταλαιπωρηκὼς, μεγίσων παρὰ τῆς ἀγνῆς ἠξιώθη τῶν ἐπισκέψεων. πάρεσιν γὰρ μελῶν, ᾗ ῥῦσιν ἄπλητον αἵματος, ᾗ κατὰ τῆ σήθες ἕλκος ἰᾶται, διαφόρως ὀπτανομένη. ὅθ' οὗν ἐνταῦθα παράδοξον διεπράχθη τῇ Θεομήτορι, τᾶτο καὶ εἰπεῖν δίκαιον, ᾗ σιωπῆσαι παντελῶς ἄγνωμον καὶ ἀχάριςον. τάτῳ δὴ τῷ Ῥοδέλφῳ ἄρτι τὴν παρειὰν ἐπὶ ἀπαλῇ καὶ ὑπήνῃ πρώτῃ χνοάζοντι, ᾗ τὸν ἴουλον ἐπ' αὐτῆς ἐπιῤῥέοντι, πάθος ὕδρωψ ἐγγίνεται· ὕδωρ γάρ ποτε πιόντι ψυχρὸν, ἔδοξε τὴν ὁλομέλειαν αὐτῆ διελθεῖν. ἐς τοσᾶτον δ' ἐξικέσθαι θᾶττον, ὡς ἀκαρῆ φθάσαι καὶ αὐτὸν τὸν πρῶτον δάκτυλον τῆ ποδός. τὸ δὲ κατ' ὀλίγον ἠύξανε, ᾗ τῆ ὄγκε τῷ ταρσῷ μετεδίδε,

Κάθ. Δ. Θαῦμα νζ'.

εἶτα

εἶτα καὶ ἐς κνήμας δὴ τὸ δεινὸν ἐπεχώρει, ᾗ τὴν κοιλίαν ἐζώννυε, κατά τε τῆ σήθες προσβάλλον, τὴν τῆ σώματος ἀκρόριαν διελάμβανε. δίψα δέ τις ὑπερφυὴς τᾶτον ἐπὶ μᾶλλον ἀνέφλεγε. χανδὸν γὰρ τῆ ὕδατος ἐμφορέμενος, ἃ κατακορὴς αὐτῆ ποτε ἐγνωρίζετο. παρὰ τοσᾶτον δὲ συνέβαινε τῆ πίνειν εἶναι τὸ διαλεῖπον, παρ' ὅσον ἦν κατὰ τῆ σόματος ἐγχέαιτε καὶ ἀρύσασθαι. ὅτω δ' ἔχων ᾗ τῇ Κωνσταντίνᾳ γενόμενος, τῇ μητρὶ πρὸς χεῖρας ἰὼν, ἐπιμελείας ἠξίωτο, ἰατροὶ πρὸς τάτῳ συνέῤῥεον, ᾗ φιλοσοφεῖν μὲν εἶχον περὶ τῆς νόσε, ὐδὲν δὲ οἷον καὶ πρὸς ὄνησιν ἐκτελέσαι. ὡς δ' ἐκείνῳ πίνοντι τὸ ὑγρὸν, ᾗ ὅσον περιεσίας ἦν ἄρισα τοῖς ἰατροῖς προεπίνετο, ᾗ ἤδη πρὸς ἀναῤῥῆν τῷ ἀπρακτεῖν ἐχώρεν. ἕτερος, σύρος μὲν τὸ γένος, κόμπος δὲ ἄλλως καὶ ἔπαρσις ἄντικρυς παριὼν, ἐκείνῳ γε τὰ πρὸς τὴν νόσον, δυνατὰ εἶναι ἔφασκεν, εἰ τῶν ἄλλων ἐν δευτέρῳ θεῖτο τὴν γνῶσιν, εἴκει δὴ τοῖς ῥήμασιν ὁ νοσῶν. τοιᾶτον γάρ τι χρῆμα ὁ ἄῤῥωςος, ἀεὶ μεταπηδᾶν εἰωθὸς, ᾗ πρὸς τὸ τὴν ὑγείαν ἰσχυρῶς ἐγγυώμενον, ὡς τάχισα μεταῤῥέπον, καὶ ταῦτ' εἰ χρόνῳ πολλῷ ἄχθοιτο, ᾗ τὰ τῶν πρώτων δεύτερα τῶν ἐλπίδων ἐκείνῳ γένοιτο. πόμα τοίνυν ἐντεῦθεν διασκευάζεται, τὸ δὲ ἄρα διπλᾶν ἦν τὸν θάνατον τῷ ἀνδρὶ ἐνεργοῦν. ὅτε γάρ τι πρὸς τὴν νόσον ἦν ἀποχρῶν, ᾗ ἄλλως ἐπωδαῖς τισὶ καὶ γοητείαις σύμμικτον ὄν, ψυχῆς διέβαινε πρὸς ἀπώλειαν· ὁμὲν ἕν προσῆγε τὸ φάρμακον, ὁ δὲ νοσῶν κατεδέχετο, ᾗ φάρμακον ἦν ἀτεχνῶς, δυοῖν θανάτοιν ἐν μεταιχμίῳ. αὐτίκα γὰρ κατὰ τῆ σήθες χωρῆσαν, ᾗ τὰ ἔνδον πάντα διαδραμὸν, ὅσα καὶ νεκρὸν διετίθη τὸν ἄνθρωπον, ἦν τε ἀπ' ἐλπίδος τοῖς παριᾶσι καὶ θεωμένοις, ᾗ τὰ πρὸς ταφὴν αὐτῷ διεσκεύαζο, ἀλλὰ περὶ μέσας νύκτας ἡ Θεομήτωρ τῷ Ἰωάννῃ ὀπτάνεται, τῶν μὴ δυνατῶν παντάπασι φάσ-

κσα

κασα εἶναι, ἐρρῶσθαι αὐτῷ τὸ σῶμα, εἰμὴ πρὸς οἶκον δὴ τὸν ἐμὸν διαβῆναι σε γένοιτο. τῷ δ' ἀγνοεῖν τὸν οἶκον ὁμολογοῦντι, ᾗ ὅπα γῆς εἴη διαπυνθανομένῳ, ἡ ὄψις αὖθις ἐδήλα. τὸ τεῖχος δὴ τῆς πόλεως ἐξιὼν, παρὰ τὴν τάφρον διέρχα, ᾗ αὐτίκα τὸ ἐμὸν ἀνάκτορον ὄψει, περιφανῶς ὡς μάλιστα διαπρέπον, ᾗ τὴν ἄφιξιν αὖθις ἐπέσπευδεν. ὁδ' εὐθὺς τᾷ ὕπνα ἀνίετο, ᾗ τῇ μητρὶ τὴν ὄψιν ἀνήγγελλεν. ὡς δὲ τὴν πηγὴν τὸν οἶκον εἶναι πολλὰ καμόντες, μόλις διέγνων, ἀπτέρῳ τάχει παρὰ τὸ ὕδωρ μετακομίζονται. ἦν δὲ τὸν ὄγκον ὡς ἐμοὶ παρίστα ἐκδιηγέμενος, τὰ μὲν περὶ τὴν κοιλίαν, ἐμβριθής τις ἄγαν, καὶ ἀσυμμέτρως ἔχων τᾷ ὄγκα. ὅ, γεμὴν μηρὸς αὐτῷ ἐς πιδαμάς πα μάλιστα πέντε διαμεμέτρητο. τῷ δὲ λιχανῷ κατὰ τᾶ μετώπα διωθεμένῳ, τὸ ἱκανὸν, ἐνέδει τῷ ὀσέῳ προσερειδῆναι, ἐς τοσᾶτον ὑπερμεγέθης τίς ἦν, ᾗ ὑπερφυὴς τῷ οἰδήματι. πρώτη νύξ, ᾗ ἡ ὄψις πάλιν ἐφίσταται, θαρρεῖν τε ἐγκελευομένη καὶ πιστεύειν ὡς ῥᾴων ἔσαι, μὴ ῥαθύμως ἔχων ἀναχωρεῖν, εἶτα ἐδόκει τὴν νόσον ἐκ τῶν ἄνωθεν ἀπελᾶν, ᾗ ἀμφοτέραις πιέζουσαν ταῖς χερσὶν ἀποθλίβειν. ᾗ τὸ μὲν ὄπισθεν τᾷ πάθα, συνελάσαι περὶ τὸν βυβῶνα εἰς ἕνα τὸν ὄγκον, ᾗ περικλεῖσαι ἀθροίσασαν· θατέρα δὲ τῶν χειρῶν, περὶ τὸ σῆθος, τὸ ἔμπροσθεν ἅπαν, ἐς ταὐτὸ καθελκύσαι, εἶτα λέγειν ἐώκει, ὡς τὸ μὲν ὄπισθεν, ἡ τᾶ ὑδρωπός ἐσι νόσος, τὸ δὲ κατὰ τᾶ σήθα, εἶναι τὸ φάρμακον, ὅ δῆτα ὀστρογενὴς ἐκεῖνος ἀσκληπιάδης ἐκέρασε, ᾗ δαιμονικῆς τερατείας ἐπιμίξας ἐκ ἔλαττον, ἀλλ' ἐγώ σοι, ἐπέφερε, ᾗ ἀμφοτέρων ἔσομαι ἰατρὸς, ἁπλᾶν τι πόμα κερασαμένη. σέργειν οὖν ἀνάγκη. ἀποχρήσει γάρ σοι ἡ καρτερία, πρὸς τᾶ ζητεμένα τὴν εὕρεσιν. ἀλλὰ ῥᾴθυμόν πως ἡ ἀνθρωπία φύσις, ᾗ τῶν κατὰ σκοπὸν πρὸς βραχὺ ἀσοχᾶσα διχονοεῖν ἀναγκάζεται, καὶ ἀργὸν

γὸν τὸ θεῖον πρὸς τὴν χάριν καὶ τὸ τάχος καθίσησι. τριβομένα γὰρ τᾷ χρόνα πρὸς βλασφημίας ἐτρέπετο. ἦν δὲ καὶ τ' ἄλλα μὲν ἀτεχνῶς τυραννᾶντα καὶ ἐκπιέζοντα, τῶν γεμὴν αἰδοίων, πονήρως μάλα ἐχόντων, ἅτε ὑπεροιδούντων καὶ συμπιλεμένων ταῖς ὑπερβολαῖς τῶν ὄγκων ἑκατέρων μηρῶν, φέρειν ἥκιστα εἶχε τὸ ἀλγεινόν. ἀμέλει καὶ σωφρονεῖν πάλιν ἐποίει τάτῳ, ᾗ ἀντιῤῥόπα τῶν γογγυσμῶν τὰς ὕμνας ἀναφέρειν τῇ τᾶ λόγα μητρί. ὡς δὲ χρόνος ἐκείνῳ τῇ νόσῳ τρεῖς πρὸς τριάκοντα μῆνες ἠνύοντο. δύο δὲ τάτων τῷ τεμένει ἐπεμετρᾶντο, νυκτὸς τοῖς σρώμασιν ἐφυπνώττοντι, ἐδόκει κατιέναι πρὸς τὴν πηγὴν, καί τινα τὴν ὄψιν διαπρεπῆ γυναῖκα ὁρᾶν ὑπὲρ κορυφᾶς ἑσηκυῖαν τᾶ ὕδατος, σκεῦός δέ τι ὀσράκα πεποιημένον, μετὰ χειρας ἑλομένην καὶ μικρὸν ὑποκατιᾶσαν, ἐπιβάψαι τῷ ὕδατι, ὡς ὑπερχειλὲς αὐτὸ διεργάσασθαι, ᾗ ἔριόντι τῶν ἐκβοτάνης, πρὸς ταῦτα δὴ ἐπιτήδειον, τᾷ ἐκεῖθεν ὑγρᾷ ἐμπιπλῶσαν, παρὰ τὸν χριστὸν ἐπιφέρειν, ᾗ τὸ ὑγρὸν αὖθις τῷ ὀσράκῳ ἐναποθλίβειν, μικρὸν ὑποκινᾶσαν, τὰς πύλας τᾶ σόματος, αἱ δὲ ἄρα ὑγρᾷ ἐπήνθεν, ἠρέμα παρασαλεύσασαι, εἶτ' αὐτὸν διανεύσασαν, χανδὸν κελεῦσαι διανοῖξαι τὸ σόμα, ᾗ ὁ μὲν διῖσα τὰ χείλη, ἡ δὲ τὸ ὕδωρ ἐκείνῳ ἐνέχει, ὡς δὲ τᾷ πίνειν ἀπέσχετο, ῥανὶς γὰρ ἀδεμία τῷ σκεύει ἐκείνῳ γε ὑπελείπετο, ἀναξείλασα τὸ χιτώνιον τᾷ ἀνδρὸς, τὰ περὶ τὴν κύσιν ψηλαφᾶν ἐώκει. ὁδὲ ἀπηξίᾳ δῆθεν, τῇ αἰδοῖ συσελλόμενος. ἡ δὲ νόσος ὑπεχώρει αὐτίκα μάλα, ῥαγδαίως τῆς κατὰ φύσιν ἐξόδε προῤῥέουσα, ὡς διάβροχα μὲν ἐκείνῳ κἂν τοῖς ὕπνοις γίνεσθαι τὰ ἱμάτια, ἀδὲν δὴ ἧττον καὶ τὰ σρώματα διελθεῖν, ᾗ ὅπη παρείκοι παραῤῥεῖν ᾗ διέρχεσθαι. ὁ δὲ μόλις ἀναπήψας, ᾗ τὸν ὕπνον ἐκτιναξάμενος, πρῶτον μὲν διηπόρει. εἰ ὄναρ εἰσὶ τὰ πραττόμενα, ὡς δ' αἰσχύνης μὲν ἦσαν

αὐτῷ τὰ ἱμάτια ἔμπλεω, καὶ ταῖς ἀφαῖς διαψηλαφῶν χλιαρὸ εἶναι ὕδατος, ὑπενόει πλήρη τὰ ἔπιπλα, δίκην τε σωλῆνος ἀπορρέον ἀψοφητὶ τὸ ὑγρὸν τῆς αἰδοῦς, ἵνα μή τινι καὶ ἄλῳ μεθ' ἡμέρας γνωσθὲν ἐγκληθείη τὸ ἄκοσμον καὶ ἀτεχνῶς ἄσχημον, τὴν μητέρα τε ἐκεῖσε παρακειμένην, θορύβῳ πλήρει φωνῇ διανίσησι, τήν τε ὄψιν ἀκριβῶς ἀπαγγέλλει, καὶ τὸ πραχθὲν ἐμφανίζει, καὶ τὸ μὲν δεινὸν, ὅτω νυκτὸς ὡράϊζε τῆς ὑπερβολῆς, ἡμέρας δ' ἐπιλαβούσης, τὸν ὅμοιον διέκειτο τρόπον, καὶ ὅτως ἀπηλλάγη τῆς νόσου βραχυτάτῳ χρόνῳ, παντὸς τοῦ ὑγροῦ ἐκείνου ὄγκου ἐκκενωθέντος τῷ ὕδατι, καὶ νῦν εἰσέτι τὸ θαῦμα καὶ κήρυκος διαπρύσιον ἀπαγγέλλει, ζῶν καὶ ὁρώμενος. τοῦτο τὸ παράδοξον ὁ τοῖς θαυμασίοις πλέον τῆς Θεομήτορος ἢ τῇ ἀρχῇ ἐπιγανυμένος εὐσεβέστατος βασιλεὺς διακόσας, ἀθροίζει μὲν τὸ ὑπήκοον ἅπαν, καὶ ὅσος δὴ κατάλογος ἱερὸς, ἀλλ' οὐδὲ τῶν μοναχῶν αἱ ἀγέλαι ἀπῆσαν, καὶ ὁλονύκτιον τὸν αἶνον, τῇ τὴν φύσιν ἀεὶ νικώσῃ μητρὶ τοῦ Θεοῦ ἐκτελεῖ, τοιαῦτα παράδοξα τέρατα ἐκτελέσῃ, τοῦ ἰαθέντος πρότερον ἐπὶ μέσου τοῦ πλήθους ὡς ἔχει ἅπαντα διαγγείλαντος. Θαῦμα νή.

Ἀλλὰ καὶ τὸ κατὰ τὸν ἕτερον βάραγγον Μανουὴλ ἐνταῦθα ἀναγκαῖον ἡγοῦμαι προσθεῖναι. τοῦτο δέ μοι ὁ προρρηθεὶς Ἰωάννης ὁ βάραγγος διηγήσατο. χυμῷ γάρ τινι δριμυτέρῳ φύματά τινα ἐκείνῳ περίπου τὸν μηρὸν ὑποτρέχουσι. τὰ δ' ἦσαν ἄρα τὸν θάνατον ἐκ τοῦ σχεδὸν μυησευόμενα· δάκνειν μὲν γὰρ τὸ πρῶτον ἀπήρχοντο, καὶ ὄνυχες καθυπάργουν δῆτα, τὸ ὑπερτρέχον δριμὺ καταξαίνοντες. πληροῦνται τοίνυν ἐκεῖνα θυμοῦ καὶ ἐκμαίνονται βιαιότερον, καὶ ἀνυπόστατον ἦν τὸ δεινόν. ὅτε γὰρ ἰατρῶν ἤρκει τέχνη τοῖς τραύμασι, καὶ τ' ἄλλα πάντα πρὸς τὸ πάθος, ἐν δευτέρῳ ἐτάττοντο, ἔνθεν διάτρητον μὲν αὐτῷ τὸ περὶ τὴν ἕδραν ἅπαν ἐγγίνεται· ἐπεπελίδωτο μὲν γὰρ

τὰ πρῶτα ἡσάρξ, καὶ μελανίαι διαφανεῖς ἀνεφαίνοντο, σηπομένων αὐτῷ τῶν μελῶν. ἐξήνθη ἓν πληγαῖς ὅτι πλήσαις μηρός τε ὅλος, καὶ τὰ περὶ τὴν ἕδραν ἀπηνῶς τῇ νόσῳ ἐβόσκοντο. ἐπεὶ οὖν τὰ ἐξ ἰατρῶν ἄπορα τῷ μεγέθει τοῦ πάθους ἐκρίνετο, εὐπορίαν ἡ ἀπορία παρέχει. γίνεται γὰρ παρὰ τὸ κοινὸν καὶ ἄμαχον ἰατρεῖον, τὸ πρὸς πᾶσαν νόσον δεξιὸν ὕδωρ. καὶ τὸ μὲν λεῖπον τῶν σαρκῶν ὅσον ἡ νόσος κατέφαγε, (πολὺ δὲ ἦν καὶ ἰσχυρῶς ἄπισον) ὁπηλὸς ἐπλήρου τοῖς μότοις ἐπιπασσόμενος. τὴν δ' ἐκρέουσαν τῶν πληγῶν ἀνδίαν, καὶ τὸ κακόηθες ἐκεῖνο ἕλκος ἀναξηραῖνον ἦν τὸ ὕδωρ ὡς μάλιστα, καὶ μήπω τῷ μηνὶ διαγεγονότι, φθάνει τὰς ἐλὰς τὸ νόσημα ἐργασάμενον, πρὸ καιροῦ τὸν ἄνθρωπον ἀπαλλάττον καὶ ἀπολύον τῆς ἀγωνίας. ἀμφοτέρων δὴ οὖν τουτωνὶ τὰ τεράστια, καὶ χρώμασιν ἀνατυποῦται πρὸς τῷ νεῷ, ἵνα μὴ πολὺς ἄγαν ἐπιρρεύσας ὁ χρόνος, αὐτὰ διαφθείρειεν. ἴσανται γὰρ τήν τε νόσον, πολὺ δὲ πλέον φᾶναι τὴν εὐεργεσίαν τῆς Θεομήτορος ἐνδεικνύμενοι, ἐν ταὐτῷ δὲ καὶ τὰς ἑτεροζόμους πελέκυς ἀνέχοντες, ἃ μᾶλλον τούτοις γαυρώμενοι, ἢ ταῖς τῆς Θεομήτορος ἐπισκέψεσι, καὶ τὸν ὕμνον, καὶ σιωπῇ ἀνακηρύττοντες. Θαῦμα νγ'.

Χρῆναι δ' ἴσως ἡγοῦμαι, καὶ τὸ κατὰ τὴν βασίλισσαν Εὐδοκίαν ἐνταῦθα παραθεῖναι διήγημα, ὡς ἧττον τῶν ἄλλων ἐνεῖναι δόξης ὅσον εἰ χρὴ τοῦτο φᾶναι τῇ βασιλίδι διαρκέσον καὶ Θεομήτορι. αὕτη μὲν ἦν ὅθενπερ κἀκτίνος, οἵας διαγωγῆς τε, καὶ παιδείας τὸ ἐξ ἀρχῆς ἦν, περιττὸν διεξιέναι πάντως. πᾶσι γὰρ οἶμαι δῆλον εἶναι ὡς ὁ πᾶσι περιδέξιος Μαζάλων ταύτης πατὴρ, Μαζάλων, ὁ τῇ μετὰ μισῶν καὶ χαρίτων γλώττῃ καὶ γνώμῃ τὰ κοινὰ τῷ βασιλεῖ πράττων. καὶ μέγας ἐν ῥώμῃ λόγων, καὶ πράξει, καὶ ἀξιώματι, καὶ γ' ἐν ταμίαις κοινῶν χρημάτων πρῶτος εἶναι τὸ ἐκ βασιλέως, ἐν τιμαῖς ὑπερβαλλούσαις λαβών.

βών. Καντακηζηνῶν δὲ γένος τῇ βασιλίδι τὰ ἐκ μητρὸς, ὧν ὁπόσον τὸ εὐγενὲς καὶ τὸ ἐς ἀνδρίαν καὶ στρατηγίαν διαπρεπὲς, ἰσορίαις ἐντυγχάνειν πρέπον· πλὴν ἀρκέσει φάναι, ὡς γνώμης περιφανείᾳ, καὶ πατρικῆς ἀρετῆς κατὰ πᾶν ὑπερφέροντι, τῷ ὑεῖ τε θαυμαστε βασιλέως, τῷ περιφανεῖ δεσπότῃ τῷ Κωνσταντίνῳ, εἰς γάμους τε ἦκε, καὶ νύμφη βασιλέως ἀκέσαι ταύτῃ λαμπρῶς ἐξεγένετο. αὕτη τοίνυν ἐκ πάνυ πολλε δριμύν τινα πόθον εἶχεν ἐγχέασα τῷ τὴν φύσιν πᾶσαν νικῶντι τῆς πηγῆς ῥείθρῳ, ἐπεὶ δὲ καὶ δεινῷ πάθει ἁλῶναι ξυνέπεσε ῥᾳδίαν μάλα τῷ καιρῷ τε πάθος εὑρίσκει τὴν θεραπείαν· τὸ δὲ πάθος ἐπιεικῶς ἄτοπόν τι καὶ τεταραγμένον, καὶ δαιμόνιον οἷον εἰπεῖν. τὸν γὰρ στόμαχον ἐκτραπεῖσα, κἀντεῦθεν καὶ τὴν ἔξιν πᾶσαν διαλυθεῖσα, ἀθυμίαις ὅτι πλείσαις, ἐν ταυτῷ δὲ καὶ λειποθυμίαις συνεχέσι περιωλίσθαινεν. ἔμετοι τὸ ἐπὶ τούτοις συχνοὶ, καὶ ὅσα τούτοις παρέπεται, ἀηδίαι σφοδραὶ, καὶ τὸ ἀνίσχυρον ὡς ἐπίπαν. ἔργον δ' ἦν αὐτῇ σχεδὸν νύκτωρ καὶ μεθ' ἡμέραν, τῷ μὲν δοκεῖν, λιχνείαν περὶ σῖτα ἔχειν, πρὸς βραχὺ δὲ σχᾶσαν, ὅσον τὸ λειποθυμεῖν ἀναψύξαι αὖθις θύραζε ἀναπέμπειν, ἀηδίας δ' ὅσης ἐμπεπλῆσθαι ταύτην εἰκὸς, ἐκ ἄρα Χρὴ παρισᾶν. τόσον δ' ἦν μετὰ τε ἀηδὲς τὸ πιέζον, ὡς ἐξίτηλον αὐτὴν ἤδη γεγενημένην, κατ' ὀδὲν σκιᾶς διαφέρειν. τί γὰρ ἂν ἡ φύσις ἔσχε, μηδὲν ἁρπάσαι, καὶ εἰς πέψιν παραπέμψαι τῷ συνεχεῖ τῆς ἐς αὖθις ἀνόδε τῆς τροφῆς δυναμένη. μέτρον δὲ μηδ' εἶναι ῥᾷσον εὑρεῖν τῶν ἐμετῶν καὶ τῆς τροφῆς. πῶς δὲ οἴει τὰ κατ' οἶκον ἔχειν αὐτῇ, ἅτω δῆτ' ἐχέσῃ τὴν ἕξιν; ἀπειρήκει τοίνυν τοῖς ἔνδον, καὶ γ' ἐξήτει μεταβαίνειν ἔνθεν τῇ τε τόπε δῆθεν, τῇ τ' εὐκραεῖ τῶν ἀέρων ἴσως μεταβολῇ, τὴν ἀπαλλαγὴν τε πάθους ἐντεῦθεν μηχανωμένη. ἐξήει τοίνυν καὶ παρά τινι τῶν αὐτῆς προαστείων μελιτιὰς τῷ χωρίῳ τὸ

τὸ ὄνομα γενομένη, τὸ θεῖον μεταξέλλεται τῆς πηγῆς νᾶμα, πᾶσα μὲν ἰατρῶν μαγγανεία, καὶ τερατεία, τὸ μηδὲν εἶναι αὐτίκα ἠλέγχετο. οἵτε γὰρ ἐμετοὶ, ὡς ἐπίπαν ἔσησαν ἀναῤῥέειν, εὐρωστεῖν δὲ μάλα τῷ στομάχῳ προσῆν, καὶ μοχθηρὰν ἴσως προσιεμένῳ τροφὴν, εὐπετῶς περιπέττοντι, καὶ τὸ τῆς τροφῆς ἐς ἄγαν πλεῖσον ἐκ τῆς νόσε παρεισφθαρὲν, ὡς τάχος ὑπεχώρει, καὶ κατὰ χώραν ἡφύσις ἐνήργει, καὶ ἦν ἰδεῖν τερασίως καινοφανῆ τινὰ τὰ πραττόμενα. ὅτε γὰρ ἡ τράπεζα συνεχὴς καὶ ἀβρὰ τῇ πυκνότητι τε λειποθρανεῖν ἐπείγοντος προκειμένη, ἰσχνὸν αὐτῇ τὸ σῶμα ἐς ἀκριβὲς, εἶπες ἂν ἰδὼν ὀζῶν συνδήκην εἶναι νεύροις καὶ δέρμασιν ἐνειρμένην, καὶ τὸ πάθος ὅσον ὁ χρόνος γηρῶν πρὸβαινε, μάλλα σφριγῶν ἐωρᾶτο. ὅτε δὲ μετρία μὲν ἡ τροφὴ καὶ τε πρὶν συνήθες ὅτι πλεῖσον ἐνδέσα, τότε καὶ σαρκὸς ὄγκος προσεπετίθετο, καὶ ὑγιείας ἐν τῷ καθεζῶτι προσῆν, τε θείε ὕδατος λόγοις ἀῤῥήτοις σύμπαν καθιζῶντος ὑπερφυῶς. Ἀλλ' ὅμε μικρε παρέδραμε, καὶ ταῦτα τῶν ἐκ ἐλαχίσων ὄν, τῶν δὲ μάλα οἰκείων καὶ μεγίσων σφόδρα, τε τ' ἀναγκαῖον εἰπεῖν. ἔτος μὲν ἤδη τέταρτον πρὸς τῷ εἰκοσῷ τῷ εὐσεβεῖ βασιλεῖ Ἀνδρονίκῳ τῇ ἀρχῇ διηνύετο. τῶν δὲ δὴ θαυμάτων τὴν ὑπ' αὐτὸν διαθεόντων ἀπανταχε, πλῆθος ἄπειρον κατ' αὐτήν γε δὴ τὴν μνήμην τε ὕδατος ἐπιῤῥεῖ, ὡς μήδ' ἂν ῥαδίως ἔχειν καὶ τὸν σφόδρα τοῖς ἀριθμοῖς ἐγχαίροντα τὸ ςῖφος ἀπαριθμεῖσθαι. εἴκασεν ἄντις, σύμβλῳ μὲν τὸν νεὼν τῆς πηγῆς, ἔθνει δὲ μελισσῶν τὸ πλῆθος, ἃ μᾶλλον ἀποθησαυρίζον τὸ μέλι τῷ πανταχε περιίπτασθαι, τῷ δὲ μᾶλλον σπεύδειν ἐμφανῶς συλᾶν πάντας τὸ γλυκάζον νᾶμα, καὶ ταῖς ἀποθήκαις τῆς ψυχῆς ἐναποτιθέναι, καὶ τρυγᾶν ἐκεῖθεν τὴν θεραπείαν. ἐπεὶ οὖν ἅπας ὁ δόμος ἔμπλεως ἦν, ὡς μήδέ τι τῶν λεπτῶν ἐς ἄγαν διφὴν ἀρκέντως

Θαῦμα ξ.

τος

τως ἔχειν τῷ ἐδάφει προσπελάσαι τῆ ἱερᾶ, ϗ θρᾶς δὲ ἄσημος ἁπανταχῆ διηγείρετο πάσης ἡλικίας σχεδὸν, καὶ βρεφῶν ἐπιμαζιδίων, ϗ παίδων, ϗ μειρακίσκων, ἀνδρῶν τε αὖ, ϗ γυναικῶν, ϗ τῶν ἐν ἀξιώμασι παντοίοις διαπρεπόντων παρόντων, ϗ τὴν καλὴν δὴ ταύτην φιλονεικίαν ἀμφισβητούντων, ποτέρῳ τούτων πρώτῳ μεταχεῖν τῆ ὕδατος γένοιτο, τηνικαῦτα τῶν περὶ τὴν κλίμακα συνωθιζομένων, ἡ ἐκ μαρμάρε ἐμβολίμοις λίθοις ἐγήγερται, συμπιλούντων ἀλλήλες καὶ συγκλονούντων, κίων τις ὃς ὑποβάθρα τῷ χειραγωγῷ τῆς κλίμακος ἐτύγχανεν ὢν ἀνθεςὼς, τῷ ὑπερκειμένῳ βάρει τῆς ἕδρας ἀποσπασθεὶς καταφέρεται, ϗ τῇ προκειμένῃ προσβαλὼν φιάλῃ τῆ ὕδατος, ἐκείνην μὲν τῆς ἕδρας ἐξίςησι ϗ ῥιπτεῖ κατὰ γῆς μετὰ σφοδρῆ τῆ ῥοιζήματος, ὑπὲρ ψάμμον ἐκείνῃ ἐγχεομένων ἀνθρώπων καὶ ἀρυομένων τῆ νάματος. ὁ δὲ εἰς τμήματα πλεῖςα διαῤῥαγεὶς ϗ περιολισθήσας τῆ τεμένες ἁπανταχῆ, ἑδενὶ μὲν αἴτιος ζημίας κατέςη τοπαράπαν μὴ λυμηνάμενος, ϗ ταῦτα τῆ πλήθες ἐν ςενῷ κομιδῇ συσπαρέντος, καὶ πλείονος ὄντος ἢ χωρεῖν εἶχε τὸ τέμενος. τῶν γὰρ Κυλίνδρων τῆ μαρμάρε διαθεόντων ὅποι παρήκοι τὸ τέμενος, ἐκ τῆ σχεδὸν οἱ πόδες τῶν συῤῥεόντων, θείᾳ τινι δυναςείᾳ μετέωροι ἀνεφέροντο. ϗ τῆτο δὴ τὸ ξένον τῆς νοητῆς κλίμακος τὸ τεράσιον, μηδὲ βρέφος τῷ τοσούτῳ λυμανθέντος συμπτώματι. ἦν δὲ ὁ κίων τὴν μὲν ἀναδρομὴν ἐς ὀργυὰς πε μάλιςα δύο, κορακίτῃ λίθῳ παρεμφερής. τὸν γεμὴν περίδρομον ὅσον ἄντις εὐχερῶς καρποῖς χειρῶν ἀμφοτέροις ἐμπεριλήψαιτο. Παρήσειν δοκῶ μοι τῷ τὸν κόρον θέλειν φεύγειν, ϗ τὸ κατὰ τὸν χρυσόζωνον Μιχαὴλ τερατέργημα. ἀλλὰ καὶ τὸ κατὰ τὸν Σεβαςιανὸν δῆτα Θεόδωρον. τούτων γὰρ τῷ μὲν Μιχαὴλ, λιθίασιν νεφρῶν θεραπεύει, ϗ τὴν ἔξοδον τῶν ἄρων ῥᾳδίαν τίθησι μάλα, τὰ πρῶ-

Θαῦμα ἑά.

πρῶτα πιέζεσαν ἰχυρῶς· τῷδὲ, τὴν τῆ ἥτρε ἐξιᾶται διάτρησιν, ἐπὶ χρόνοις πλείοσι πρὸς θάνατον κατατείνεσαν, οἳ καὶ ἐς δεῦρο τῇ Θεομήτορι τὴν χάριν τῷ ταύτης τεμένει προσιόντες ἐκτείνεσιν· ὡς δὴ ϗ τὴν χρονίαν τῶν μελῶν πάρεσιν, τῇ τῆ Ἀμινσέλη γυναικὶ Γεωργίᾳ, καὶ ταύτην γὰρ πρὸς ἰατρῶν πάλαι ἀπεγνωσμένην, παρὰ δόξαν τῆ θανάτε ἀφήρπασε, θαυμαςήν τινα προθυμίαν τῷ ἀπορῥήτῳ ῥείθρῳ ἐνδειξαμένην. ἓν ἢ δύο προθεὶς τῆ λοιπῆ καταπάυσω τὸν λόγον. τὶ γὰρ τ' ἄῤῥητα κατὰ τὴν τραγωδίαν δεῖ με ἀναμετρήσαθαι; εἰ μὲν γὰρ ἦν ἁπάντων ἐφικτὸν περιγενέσθαι τῷ λόγῳ, οὐδὲ λήξαιμ' ἄν πώποτε, κἂν εἰ αἰῶνος ἰσχύσαιμι διελθεῖν. ἐπεὶ δ' ὕςερον ἀνάγκη τῶν ἔργων γενέσθαι διαλελοιπότος τῆ χρόνου, χρεών πε εἶναι πάντως, δείξαντα ὡς ἀπὸ γεύματος τὸ νᾶμα τῆς χάριτος. οὐδὲ γὰρ οἶμαι βλύζειν τὸ ὕδωρ ἐλάττω τῶν νημάτων τὰ θαύματα. Παρίτω τοίνυν τῷ λόγῳ καὶ Μάρκος ὁ ἱερεὺς, ᾧ παρὰ ποταμὸν μαίανδρον μὲν ἡ πατρὶς, σίπυλος δὲ τὸ ὄρος τῆτον ἐτιθηνήσατο. περί πε γὰρ τὰς ἑκάτας ὑπωρείας αὐτῷ, τὸ τῆ κροίσε ἔςι δὴ μοναςήριον, ἐφ' ᾧ τὰ μοναχῶν ὡς ἄριςα ἔτεσι ἐτελέθη, (ἤυχετο ϗ γὰρ εὐδόκιμον ὂν, ἀνδράσιν ἀρίζοις ϗ τελεωτάτοις θεὸν ἀνιχνεῦσαι, ϗ καρδίαν ζητῆσαι) ὕςερον τῇ Κωνςαντίνε ἐπιδημήσας, τῆς τῶν ςαδίων καθηγεῖται μονῆς, ϗ νῦν εἰσέτι ζῶσι διατελεῖ, τὸ ἐν ἁπλότητι μετὰ διώκων χρηςὸν, ϗ τῇ τῆ χρις῀ ἄυλακι τὸν ἐν ἀρετῇ καρπὸν γεωργῶν. τούτῳ δὴ τῷ εὐλαβεῖ ἱερεῖ Μάρκῳ κακοσίτῳ διαγενομένῳ, τῷ τὴν σάρκα θανατῶν ἐθέλειν, ϗ ἄγχειν σώφρονι λογισμῷ τὰ ταύτης σκιρτήματα, βοτάνας τε ἁλσὶ καὶ ὕδατι ταριχευομένας μάλα προσίεσθαι, καὶ ἄλλ' ἄττα ἔθοντα φαίνεσθαι, ἃ πονηρὸν μὲν αἷμα οἶδε γεννᾶν, δριμὺ δέπως ϗ ἁλυκὸν ὑγρὸν ἀπορῥέειν, ἐν βρα-

Θαῦμα ἑβ.

χεῖ

χεῖ τὴν ἕξιν μεταῤῥυθμίζεται, καὶ πάσχειν ἦν ἀνάγκη, πρὸς ἕξιν δὴ τῦ πράγματος μετασκευασθέντος. ἔνθεν τὸ δριμῦσσον ἐκεῖνο καὶ ἁλυκὸν ἀπανταχῆ τῦ σώματος διϊὸν, ἐπιῤῥίσσειντε κατὰ τῦ δέρματος ἐβιάζετο, καὶ κατὰ τὴν ἐπιφάνειαν ἐξανθεῖν ἐπίδοξον ἦν. ὡς δέ ποτε ἀλλοιόμενον ἐπιχωριάζειν καὶ παῤῥησιάζεσθαι τοῖς ἔξωθεν ἔμελλε, γάργαλον μὲν ἐνεποίει τὰ πρῶτα, καὶ κατὰ τῦ σώματος οἱ ὄνυχες ἅπαντες ἐξικόνηντο. ἀμέλει καὶ κνησμὸς πολὺς ἐπεχώρει, καὶ ἡ σάρξ εἰς αἷμα διεσκευάζετο πυρεμένη τὸ πρότερον. τῇ γὰρ κνησμονῇ ἀραιωμένα τῦ δέρματος, τὸ πάθος ὥσπερ δορυφόρος προέτρεχε, βάπτον κατὰ βάθος τὴν ἐπιφάνειαν, ἔνθεν καὶ διαμύσσων τὴν σάρκα τοῖς ὄνυξιν, ἐλάνθανεν ἑαυτὸν ἐκταράττων, ἐκ ἀναψύχων, καὶ ὅσω μᾶλλον θεραπεύειν ἐώκει, τοσῦτον τὸ πάθος ἠρέθιζε, καὶ τῷ παῦσαι μόλις κάμνοντα ἀρχὴν ἐνεποίει τῷ πάθει, ὥσπερ ἄρτι τῦ κνήθειν ἀρχόμενον· χρόνος συχνὸς ἔτος πῦ ἕβδομον καὶ μικρόν τι πρὸς τὸ πάθος τῷ Μάρκῳ ἠνώχλει. ἐπεὶ δὲ πάντα πράττων, φλέβα τέμνων, καθαρσίοις προσχρώμενος, πάντα πράττειν μᾶλλον ἐώκει, ἢ διαμάχεσθαι πρὸς τὴν νόσον, μιᾷ πρὸς ὄρθρον τῶν οἴκοι ἀπάρας, ἐφίσταται τῇ γλυκυτάτῃ, καὶ ζωηφόρῳ πηγῇ, καὶ τὰ πρὸς θυσίαν εὐπρεπῆ παρεσκευασμένος, σύῤῥοια δὲ καὶ ἄλλων συμβὰν ἤτω διεγεγόνει, φίλωντε αὖ, καὶ τῦ ἴσα κοινωνούντων αὐτῷ σχήματος, ὁ μὲν οὖν ἱερεὺς ἀπῆν τῇ νεῳ, ἐπὶ σφέτερ ἅττα τῇ Κωνσαντίνᾳ ἐνδιατρίβων, ὁδὲ ἠνιᾶτο σφόδρα, καὶ ἤσχαλλε, τῶν ἐλπίδων παντάπασιν ἐκπεσών. ἀλλ᾽ ἡ καλὴ ἑταιρία ἐκείνη πείθουσιν αὐτὸν γ᾽ ἐκεῖνον ἱερᾶσθαι θεῷ λαχόντα, καὶ ὅσον τάχος τὰ τῆς θυσίας ἐπιτελῇ πράττειν, γίνεται τῦτο καὶ ὕστερον ἀθρόον τῷ τῦ ὕδατος κάλλει περιχυθεὶς, καὶ τῦ τῆς πηγῆς ἀῤῥυσάμενος νάματος, ἐμφορεῖται σφόδρα, καὶ καθ᾽ ἁπάσης

σης ἐγχεῖ τῆς σαρκὸς, ὡς μάλιστα τῇ χειρὶ ἀνατρίβων, καὶ ὧ τῦ θαύματος, τῷ ποτίμῳ ὕδατι τὸ δριμὺ καὶ ἁλυκὸν ἀποκλύζεται νᾶμα, νεκρωθὲν ὡς ἄντις φαίη τῇ παρεσίᾳ τῆς χάριτος. ἐξ ἐκείνε γὰρ διαμεμένηκεν ἀπαθὴς, μήθ᾽ ὁπωσῦν τῦ πάθες αὐτῷ ἐνοχλήσαντος, ἀλλ᾽ ἑτέρῳ τρόπῳ διατμισθέντος, καὶ συνεκκριθέντος ἱδρῶσι τε καὶ διαχωρήμασι ταῖς ὑπὲρ λόγον θεραπείαις τῆς Θεομήτορος. Περιήκει δὲ ἡμῖν ὁλόγος καὶ ἐπ᾽ αὐτὴν δῆτα τῶν θαυμάτων τὴν κορυφὴν, τὰ γὰρ κατὰ τὸν πολὺν καὶ θεῖον Μακάριον διηγήσεται. τῦτο γὰρ ὥσπερ τις κλεὶς καὶ κορωνὶς τῷ παρόντι λόγῳ γενήσεται, τῶν θαυμάτων ἀεὶ μὴ πάυσασθαι φύσιν ἐχόντων, ἀλλὰ προσεκτέον τῷ διηγήματι. ἔχει γάρτι καὶ χάριεν μετὰ τῦ θαυμασὸν εἶναι, καὶ ἐπιεικῶς ἐσιν ἀξιάκεσον. ἔτος ὁ ἐκ ἧττον τὴν κλῆσιν ἢ τὸν τρόπον Μακάριος, σέῤῥας μὲν ἔσχε πατρίδα, ἐπιφανὴς τὸ γένος, καὶ πατράσιν ἐχρήσατο, ἃ μᾶλλον εὐγενείᾳ, πλέτῳτε καὶ τοῖς ἄλλοις σεμνυνομένοις, ὅσον ἀρετῇ καὶ λόγοις καὶ θεὸν εἰδέναι διαπρεπέσι. τῶν μὲν οὖν ἐν τῇ πατρίδι πλεῖσον ὑπερεῖχον οἱ πατέρες καὶ πρόγονοι, παιδὸς γεμὴν τῦ σφετέρε ἥττῶντο, νίκην τὴν ἐπαινετὴν τῷ ὄντι, ἣν μὴ νικηθῆναι ἧττα πάντως ἡ μεγίστη πατρίς. ἃ μόνον οὖν τοῖς ἄλλοις ὁπαῖς διαφερόντως ἐκράτει, ἀλλ᾽ ὅτι καὶ τῶν ἐνθένδε ἀπαναστὰς, τῆς κρείττονός τε καὶ ἐπὶ τὰ κρείττω φερέσης ἥψατο, τῶν ἐν τῇ πατρίδι διατριβῶν ὀλίγα γευσάμενος. τέτῳ τοίνυν παίδευσιν σεῤῥοτέραν καὶ ἀγωγὴν μεταδιώκοντι μείζονα, ὄρητε βάσιμα γέγονε, καὶ ἡ ἥσυχος βιοτὴ τὸ ἐπίσημον, καὶ οἷς καταλαμβάνεσθαι τὸ ἀκατάληπτον εἴωθε· σὺν πολλοῖς οὖν καὶ ἄλλοις, καὶ τῇ Κωνσαντίνᾳ ἐπιφοιτᾷ, κἀνταῦθα τοῖς ἀσκητικοῖς τρυχομένῳ πόνοις, νόσε δεινόντι χρῆμα τέτῳ προσρήγνυται, ἐκ ὑπὸ διαίτης, ἢ τρυφῆς πολυτελείᾳ διεφθαρμένῳ, ἀλλὰ

Θαῦμα ξγ'.

μᾶλλον ἐνδεία, καὶ ἀπορία, καὶ τῷ σκληρᾷ καὶ παρακεκινδυνευμένῃ χρῆσθαι διαίτῃ, ἵνα κύριόν γε τούτῳ εἴη τὸ σύζυγον, καὶ πρὸς ἀρετὴν εὐπετῶς ἔχοι συναίρεσθαι. ἡ δὲ νόσος ἐξηλλαγμένη πάμπαν, καὶ περὶ τὰ καίρια τῆς ζωῆς ἐπεισφρήσασα, εἴπερ δὴ καίριον ἡ ἀναπνοὴ, καὶ ὁ ταύτης ὑποδοχεὺς ὁ συριγγώδης καὶ διάτρητος πνεύμων, ἐξ ἧς καὶ τὸ πάθος μάλα γνωρίζεται· δύσπνοια γὰρ παρωνόμασται. γίνεται δὲ τοῦτο τὸ πάθος ἔκτινος ῥεύματος πρῶτα τὴν κεφαλὴν ἀνατρέχοντος, εἶτα ψυχομένου καὶ διηνεκὲς κατὰ τοῦ σήθους χωροῦντος, τῇ δ' ὑπερβολῇ καὶ ἁπλησίᾳ τῆς εἰσροῆς, καὶ πρὸς τὸν πνεύμονα μετοχετεύοντος τὸ ὑγρόν. ἴσως δὲ καὶ τῇ τῆς τροφῆς βραδυτῆτι τῷ τὸν στόμαχον πονήρως ἔχειν τῷ κρύει πέψει παραδιδόναι, ἅπερ ἂν καὶ προσλήψαιτο. εἰς φλέγμα γὰρ τὸ πλεῖσον ἐξαλλοιοῦντα, τῷ ἐξίτηλον εἶναι καὶ διερρυηκότα, εἶτα καὶ τῷ πνεύμονι παραπέμποντα, τὰς σήραγγας ἁπάσας αὐτῷ ἔμπλεω τοῦτο ποιεῖν. τῆς δὲ δὴ πνοῆς εἰσρεούσης ὡς ἔθος, ἐπεὶ μὴ ἔχει τὰ ταύτην ὑποδεξόμενα· ἐμφραγῆναι γὰρ αὐτὰς συμβαίνει τῷ φλέγματι, σεσῶσθαι μὲν ἐκεῖνον εἰκὸς, καὶ συνεχὲς τὸ ἆσθμα προΐεσθαι, ἀνάγκη οὖν τἀντεῦθεν, πυκνότερον τὸν πάσχοντα διαίρειν τὸ στόμα, ἐς ὅτι πλεῖσον ἀνευρυνόμενον, πλήττεσθαι δὲ αὐτῷ καὶ τὸ σῆθος, ταῖς σφοδροτάταις τοῦ πνεύματος εἰσροαῖς τε καὶ ἐκροαῖς, τάς τε σιαγόνας ἀγωνιᾷν, καὶ τὰ ὄμματα ἀνωθηκότα εἶναι, τῇ βίᾳ σενοχορούμενα· ὑπορρεῖν δὲ αὐτῷ καὶ τὴν σάρκα, μηδέν τι τῆς τροφῆς προσλαμβάνουσαν, καὶ τὴν ἔνδον πᾶσαν διάπλασιν ἐκταράσσεσθαι, ὡς δοκεῖν διεσπάσθαι τῆς συμφυΐας, καὶ ἀνατρέχειν κατὰ τοῦ στόματος, ἕως δήτισιν ἡμέραις, τὴν ἐνσήραγξι τοῦ πνεύμονος ἅτε δὴ πεφθὲν, ἀπαγορεῦσαν τὸ φλέγμα διατριβήν, ἀναῤῥέειν κατὰ τοῦ στόματος ἄρξηται, καὶ προχεῖσθαι τοῖς ἔξωθεν, φλέγμα παχὺ καὶ διαφανέσατον,

τον, ἀφρῷ παντάπασιν ἐοικός. τοιοῦτον τὸ πάθος, μέγα μὲν ἐν τοῖς πάθεσιν, ἐς τοσοῦτον δ' ὑπερβολῆς τούτῳ γενόμενον, καὶ ὑπερφυῶς ἀκμάσαν, ὅσον συμβαίνει τὸ πάθος τεταχθαι ἐν μείζοσι, καὶ ἀ δύσπνοιαν εἶναι δὴ μόνον, ἀλλὰ συνδραμεῖν τῷ κακῷ, καὶ ὀρθόπνοιαν, καὶ ἐς μέγα τὸ δεινὸν, τῷ ἀνδρὶ ἐπεχώρει. τί δ' ἰατροῖς παρεῖτο, ὃ μὴ πραχθὲν, ἀνάγκην ἔσχε, παραιτεῖσθαι αὐτῷ τὴν ζωήν. τόσον δ' ἦν τὸ πιέζον, ὡς σκιᾶς ἀδὲν ἄμεινον διαφέρειν παρασκευάσαι, ἀπόσιτόν τε ἐκ τοῦ ἐπὶ πλεῖσον εἶναι, καὶ τὸ παραδοξότατον, ἄϋπνον, ἀ κατακείμενον, ἀλλ' ἐπὶ τῆς κλίνης ὀρθὸν καθῆσθαι συνέβαινε, καὶ τῇ βίᾳ σενοχωρούμενον, ἐφ' ἡμέραις πλείσαις ἱδρῶτι περιῤῥεῖσθαι ἀπείρῳ, καὶ καθ' ἑκάσην ἐκπνοὴν τὸν ἰδόντα νομίζειν, καὶ τὸ πνεῦμα θύραζε αὐτῇ συνανίπτασθαι. ὅτω τὸ δεινὸν ἄμαχον καὶ τέχνης ἄμεινον ἀνθρωπίνης. πᾶ δὲ παρ' ἐκείνῳ λόγος τοῖς δεινοῖς ἐχομένῳ, ἡ νεῦσις, ἡ ῥοπή τις καὶ παρέγκλισις, ἀλλ' ἦν ἀκλινὴς ὅλος κατὰ τῆς κλίνης ἀνακείμενος ὄρθιος καὶ ἐπὶ πλεῖσον ἀναῤῥέων βιαίως τὸν σίελον, ἐπ' ὀσράκῳ κολοκύνθης καταχεόμενον, δέαμα ἐλεεινὸν, καὶ σωφρόνων ὄψεσι δάκρυον ἀτεχνῶς. πάντα μὲν οὖν μᾶλλον ἦν προσδοκᾶν, ἢ τοῦτόν γε καθυπέρτερόν ποτε φανῆναι τῆς νόσου. ἴσον δ' εἶναι νεκρὸν ἀναῤῥαγῆναι τῶν κάτω, καὶ Μακάριον τοῖς ζῶσι συγκαταλέγεσθαι, πολλῷ γε μᾶλλον ὑγιείας ἐπαπολαῦσαι. αὐτὸς σύμοι τὸ τεράσιον τῆς νόσου διήγησαι ἱερὲ Γωσήφ, ὅτι ποτε ἦν καὶ οἷον. ἀδεὶς γὰρ λέγοντί σοι διαπιστήσει· σὺ γὰρ ἀφροδίτη, καὶ λύρα φιλοσοφίας ἁπάσης, μουσεῖον περιπατοῦν, καὶ βιβλιοθήκη τις ἔμψυχος, καὶ τῷ ὄντι φιλόσοφος, φύσεως ἐς ἄκρον λόγου εἰδὼς, ἀποχρώσῃ τε τῇ γλώττῃ τὸ καίριον ἐφαρμόσαι δεδυνημένος ἑκάστῳ, καὶ τὴν τοῖς πολλοῖς ἁπλοκον σειρὰν ἐντέχνως ἀναλεξάμενος, λόγου ἅτε ἄκρως ἐξησκημένος, καὶ ἀρετῇ τὰ πρῶτα δὺς ἀδενί· τοσοῦτον ἥκιστ' ἐν

ἐν θατέρῳ λειπόμενος, ὥζε πάλιν ἄντις γένοιτο, ποτέρῳ τούτοιν σοι τὸ φιλοσοφεῖν ἄμεινον. σὺ δὲ τῇ παλαμναίᾳ ταύτῃ νόσῳ ἐφιλοσόφεις ὄντως πᾶντα γενόμενος τῷ ἀνδρὶ, καὶ φιλοσοφεῖν ἔπειθες ἐν παντὶ, καὶν τοῖς ἐλαχίσοις διακονέμενος, ἰσορρόπον εἰ τοῦτο δέον εἰπεῖν, πρὸς ὑπερβολὴν τοσάυτης νόσου αὐτῷ εὑρεθεὶς παραμύθιον. ἀλλ' οἶδ' ὅτι καὶ τὰ ἐλλείποντα προτρέπεις ἡμῖν ἐπιθεῖναι, αὐτὸς τὰ πλείω τῇ πράξει φιλοσοφεῖν ἐξειδὼς, καὶν τῇ σιγῇ τὸ μέγεθος παρισᾶν. ὅτως οὖν ἔχοντι καὶ ἀθλίως ὑπὸ τῆς νόσου τῷ Μακαρίῳ διακειμένῳ, ὥσπερ ἐνδεῶς τῆς νόσου ταύτης ἐχούσης, καὶ ἑτέρα προσεπιγίνεται τὴν προτέραν ἐν ἐλαχίστῳ δεῖξαι φιλονεικοῦσα. περὶ γὰρ τὴν κύσιν ψάμμοι ἄττα τούτῳ γενῶνται, ἃ πρὸς ἄλληλα συνιόντα δυσχερῆ τὴν ἔκκρισιν τῶν ὕδρων ἐποίει, καὶ δυσὶ παλαμναιοτάτοις πάθεσι βαρυνόμενος, ἐν μεγίσαις εἶναι ταῖς εὐεργεσίαις εἰ ἐπισαίη τὸν θάνατον ἐλογίζετο. πλὴν ἀλλ' ὅτω δὴ πιεζόμενος, καὶ καθ' ὥραν ὡς εἰπεῖν ἀποθνήσκων, ἐπεὶ τὰ τῆς Θεομήτορος μάθοι τεράσια, κατὰ τῆς ψάμμου τὸ ὕδωρ τῆς πηγῆς ἐφιζᾷ, καὶ πεφεισμένως ἁπτόμενος, τῇ γὰρ δυσπνοίᾳ τὸ ὕδωρ πολέμιον, ἐκεῖνα μὲν ἅπαντα, ἵνα συνελὼν εἴπω, τῷ ὕρῳ ἐκκρίνει. ἦν γὰρ ἰδεῖν αὐτὰ κατὰ τῆς ἀμίδος συνιζάμενα ὅτι πλεῖσα. ἀλλ' ὅτω μὲν θατέρου τῶν νοσημάτων ἀπήλλακτο, τῇ γεμὴν χρονίᾳ νόσῳ, καὶ πάλιν συνείχετο, καὶ τοῦ χρόνου προκόπτοντος ἐκείνη σερρῶς ἐπετίθετο, καὶ τὸν ἔσχατον ἀνέσειε κίνδυνον. τί οὖν ὥσπερ ἀρραβῶνα τὴν θατέρου νοσήματος ὑγίειαν εἰσδεξάμενος, πεῖραν καὶ αὖθις κατὰ θατέρου προσάγει, καὶ ἐπεὶ βαδίζειν οὐκ εἶχε, τὴν προθυμίαν ὅλην προπέμπει καὶ ἐκχέει τῷ ὕδατι, καί τι τολμᾷ θρασὺ καὶ γεανικὸν, πλὴν τῆς ἐκείνου πίσεως ἄξιον. πέμψας γὰρ μετακομίζει τὸ ὕδωρ, καὶ ὁ πρὶν μηδ' ἀέρος ψυχρὰν ὁλκὴν, ἢ ὕδατος εἰσδεξάμενος,

νος, εἰ μὴ θᾶττον θέρμῃ δήτινι ἀλλοιωθείη καὶ χαυνωθείη, τοῦτ' ἐφ' ἅπασι προχρώμενος ἦν, πίνωντε ἀπνευσὶ καὶ παραγευόμενος, καὶ ἐφ' ἡμέραις ἱκαναῖς τοῦτο διαπραττόμενος, ἀπελαύνει τὴν νόσον, καὶ ἀκριβῶς ἀποκρύεται, οὐκ ἀθρόαν ἀποβαλὼν, ἀλλὰ τὰ μὲν πρῶτα, πρόχειρόν τε ἦν ἐκείνῳ τὸ πνεῦμα. διολισθαῖνον ῥέμα, καὶ τὸ φλέγμα διέκοπτεν ἡ τοῦ ὕδατος δύναμις, καὶ τὰς συριγγώδεις ἐξεκάθαιρε τόπους τοῦ πνεύμονος· ἡμὴν δὲ καὶ ὡς ἔθος ὁ σίελος κατὰ τοῦ σόματος ἀνεφέρετο, ἀλλ' ῥέμα μὲν ἐκείνῳ τὰ πᾶντα, καὶ ἀνεκτότερον εἶχε, καὶ τὴν παντελῆ ἐντεῦθεν ἀπαλλαγὴν ὑπισχνέμενα ἦσαν· τοῦ δέ γε φλέγματος, τοῦ κατὰ τοῦ σόματος ἕρποντος, τὸ μὲν, τοῖς κάτωθεν συνηλαύνετο, καὶ εἶδες ἂν τῷ ὕρῳ συνεκκρινόμενον, δίκην τε χιόνος ἐπιπολάζον, καὶ τῷ ὑγρῷ ἐποχέμενον, ἄλλα δὲ καὶ πρὸς τὰς πόδας διέβαινεν. ὠγκοῦντο τοίνυν ἐκεῖνοι καὶ τοῦ συνήθους ἐξίσαντο, ἐπὶ δοξοί τε ἦσαν, ὅσον ὅπω διαῤῥαγήσεσθαι τῇ σενοχωρίᾳ, καὶ τὸ πιέζον ἀθρόον ἀποβαλεῖν. ἐπὶ τοσοῦτον τὸ δεινὸν συνηλαύνετο, ἀλλὰ βόρβορος θεῖος τοῦτο τέως ἐπεῖχε, καὶ ἀνεχαίτιζε, κατὰ τῆς ἐπιφανείας ἐπιχριόμενος. τὸ δὲ ὕδωρ αὖθις πινόμενον, προσηπήνετο, καὶ ἀνατρέχοντι ἐμπόδιον ἦν. ὁ μὲν γὰρ ἱερὸς βόρβορος ὥσπερ τινα δραπέτην ἀνώθει τῶν κάτω τὸ φλέγμα, τὸ δὲ ἄνωθεν ὕδωρ περὶ τὴν κύσιν τοῦτο καταλαμβάνον ἐβίαζε, τὸ δ' ἐξέπιπτε σενοχωρέμενον ταῖς ἐκκρίσεσιν, ὑσσώπου δίκην ἐπαφρίζον ἐς μέγα, καὶ ὅτως ἐξάντης παρὰ δόξαν τοῦ πάθους γενόμενος, τὴν πηγὴν κατελάμβανε, καὶ τὸ περὶ τὸν θεῖον Εὐφράτιον κελλίον διακοσμήσας, τῆς τε ὕλης ἀναλαθάρας, καὶ πρὸς τὸ εὐπρεπὲς διασκευασάμενος, τὸ τεσσαρακονθήμερον διετέλεσε, καὶ νῦν ἐφι ζῶν καὶ ὁρώμενος, τοῖς τε πλείοσιν ἀπιστούμενος, ὅτι δὴ αὐτὸς ἐκεῖνός ἐστιν, ὁ ἐπὶ ἓξ πρὸς τοῖς δέκα τῇ νόσῳ ταλαιπωρήσας ἐνιαυτοῖς. ὅτός ἐστιν

ὁ εἰς

ὁ εἰς τόνδε τὸν ἀγῶνα καθεὶς ἡμᾶς, καὶ δειλιῶντας, ταῖς εὐχαῖς ἐπιῤῥώσας, καὶ πρὸς τ' ἔργον παραθαῤῥύνας, καὶ πρῶτος ἡμᾶς καταδῦναι τὸν ἀγῶνα τοῦτον ἐκβιασάμενος, μᾶλλον δὲ τὸ βάθος ἀναδιφῆσαι, καὶ τὰ πελάγη ὑπερνήξασθαι τῶν θαυμάτων· διὸ καὶ ὕστερος τῶν ἄλλων παρ' ἡμῶν κατετάχθη ὑπὲρ ἅπαντας ὡς εἰπεῖν, καὶ ὑπερφυῶς δηνυσμένος τῇ Θεομήτορι. ἀλλὰ τῶν θαυμάτων ἅλις ἤδη. οὐδὲ γὰρ εἴτις τὴν παρ' ἀνθρώποις δύναμιν ὑπερβάλλοιτο, οὐκ ἂν ποτ' οὐδ' ἐγγὺς αὐτῶν γένοιτο. ὡς γὰρ τὸν διὰ πελάγους πλεῖν ἠρημένον, εἴ τις ἔροιτο, πόσοις τισὶ ῥοθίοις ἐντύχοι, καὶ ποσαπλῆς τῆς θαλάττης πεπείρατο, οὐκ ἂν ἀποδοίη λόγον οἶμαι, ἅτε ὕφαλος διὰ πάσης ἐλθὼν, ὅτῳ μοι δοκεῖ κἀνταῦθα παθεῖν τὸν πυθόμενον. ἑκάστῃ γὰρ ἡμερῶν συγγραφὴν ἂν ἰδίαν σχοίη. πλὴν ἡμῖν ὅσον ἀπὸ τοῦ κρασπέδου τὴν ὑφὴν τῆς ἐσθῆτος ἐνδείξασθαι ἱσπεδὴ, κἀκ τῶν ὀνύχων τὸ τῆς παροιμίας, τὸν λέοντα, καὶ τὸ πρόσφορον φᾶναι, κἀκ τοῦ νάματος τὴν πηγήν· ἀποχρήσει γὰρ οἶμαι πάντως, ὀλίγ' ἅττα τῶν θαυμάτων τὸ περιὸν τῆς ῥώμης καὶ δυνάσειας τοῦ ὕδατος ἀποδεῖξαι. ἄγε δὴ λοιπὸν, πολλῶν μὲν ὑδάτων ἐς ὅσον τιμῆς ἠκόντων, τῷ ψυχρῷτε καὶ διειδεῖ, καὶ πρὸς χρῆσιν δῆτ' ἀναγκαίῳ δεῖξαι προθυμηθῶμεν, ὅσῳ τῶν ἄλλων ἁπάντων ὑπερηκόντισεν, ὕδωρ τὸ τῆς πηγῆς. Μωϋσῆς μὲν οὖν τὴν κοσμογένειαν ἐξυμνῶν, καὶ τὸ τοῦ παραδείσου χάριεν διηγάμενος, πηγήν φησιν ἀνέβαινεν ἐκ τῆς γῆς, καὶ ἐκάλυπτε πᾶν τὸ πρόσωπον τῆς γῆς, ἀλλὰ τῇ μὲν μόνον προῤῥεῖν ὕδωρ, τὸ κράτιστον, ἡ δὲ πηγὴ πρὸς τοῦτῳ καὶ τὸ πάντη διατρέχειν τῇ φήμῃ καὶ θεραπείᾳ, τοῦτο δὴ τὸ ἐξαίρετον, καὶ μόνῃ βουλήσει τῶν καμνόντων, καταλαμβάνειν ἐν ταυτῷ ἀκαρεῖ τὸ περίγειον. Ἔβλυζε μὲν οὖν πάλαί ποτε διψῶσιν ἑβραίοις ὕδωρ ἐκ πέτρας ῥάβδῳ πληγὴ, ἀλλὰ πρὸς

σύγκρισις α'.

β'.

ὥραν

ὥραν ἐπεμετρεῖτο τοῦτο, καὶ χρόνος ἤλεγξε τὴν κατὰ φύσιν ἄνιξιμον πρὸς τὴν φύσιν χωρήσασαν, ἥδ' ἀεὶ ῥεῖ, καὶ χρόνος αὐτῆς οὐχ ἅπτεται. πλῆθος δὲ τοσοῦτον τοῦ νάματος, ὥσε ἀκμῆτας εἶναι τοὺς ἀρυτομένους, κἂν τούτῳ μόνῳ τὸ ταὐτὸν ἐσιν ἐφευρεῖν. καὶ γὰρ ἀῤῥυομένῳ καὶ ἐωμένῳ τὸ ἶσον ἀεὶ προβάλλει, ἀντίῤῥοφα τῷ τετρημένῳ πίθῳ διαπραττόμενον. ὅταν δὲ καὶ πρὸς τὴν ῥῶσιν ἀπιδεῖν γένοιτο, ἐν δευτέρῳ πάντως θήσεις ἐκείνης τὰ κράτιστα, καὶ ἐς ὑπερβολὴν ἐσι τὸ διάφορον, μηδὲ πρὸς τὰ ἶσα τῶν ἐλαχίστων ἔχον τὴν σύγκρισιν, εἶχε μὲν δὴ καὶ χάριν, ὁσιλωάμ, ἡνίκά τινα τῶν ἐκ τῆς πόλεως ἴδοι ἀπεκαλμένον, ἄφθονον τὸ ὕδωρ ἐπιχορηγῶν, καὶ πάλιν τοῖς ἐξ ἑαυτῶν ἵπποις καὶ ἀλλοτρίοις ἀναχαιτίζων τὸν ῥοῦν. τῇ δ' ἡμετέρᾳ πηγῇ οὐκ ἐπιμετρεῖται τοῖς ἀποσελλομένοις τὸ ὕδωρ, πολλῷ γεμὴν ἐν ἀφθονωτέρῳ τῷ ῥείθρῳ προχεῖται τοῖς αὐτόθεν ἥκουσι, καὶ ἄλλως προβαλλομένοις τὴν πίσιν, καὶ διπλῆν τὴν χάριν παρέχει, τό,τε δίψος ἐξημερῶσα, καὶ τὸ δὴ μέγιστον συνεπεισρέουσα καὶ χάριτος οὐκ ἐλάχιστον. τί δὲ τὸ τῆς σαμαρείτιδος φρέαρ, ἔ καὶ χρισὸς αὐτὸς ἔπιεν, ἔχοι ἄντις πρὸς τοῦτῳ εἰπεῖν ἐμφερὲς; ὁ δαμῶς. ὃδ' οἶμαι χρισὸς ἐκεῖ τῇ γυναικὶ ἐπαγγέλλεται παρέχειν, ζῶν καὶ ἁλλόμενον, τοῦτ' ἂν εἴη πάντως, εἴπερ ἐξ αὐτοῦ προχεῖται πάντως ὁρμώμενον, ὡς παντί γε ταύτην διὰ τοῦτο δόξαν ὑπεῖναι, ὑγιεινότερόν τε εἶναι, καὶ παντοίᾳ νόσῳ ἀντίπαλον ἐξ αὐτῆς προῤῥέον τῆς χάριτος ἄντικρυς. μέγα πάντως τὸ ἐν τῇ προβατικῇ ἐκτελούμενον, ἀλλ' ὥρᾳ μιᾷ τοῦ ἔτους, καὶ ταῦτα τούτῳ καθίσα τῶν πρὸς ὑγίειαν πιεζομένων τὸ γόνιμον. καί τις ἔδειξε πάντως ἀπορίᾳ τοῦ θεραπεύσοντος, ὀκτὼ πρὸς τριάκοντα ἔτη, τάφῳ τῇ κλίνῃ χρησάμενος. τὸ δὲ τῆς πηγῆς ὕδωρ τῷ αἰῶνι συμπαρεκτείνεται, καὶ σχολὴν ἄγει ἄλλο τι πράττειν, ἢ σώζειν ἀνδρὰ-

γ'.

δ'.

ε'.

ἀνθρώπῳ, ᾧ πᾶσι φάρμακον γίνεται, μήτι γε παρακαθημένοις, ᾧ τὴν ὥραν τῷ κινήσοντος προσδοκῶσιν, ἀλλὰ πίσει πόῤῥω φθάνον, τὸ ἴσον τῇ ῥίζῃ ἐργάζεται, πολλῷ δ' εἰπεῖν ᾧ τὰ κρείττω, τῷ πόῤῥω φέρεσθαι, ὥσπερ ἐκδιαμέτρῳ τῇ Σολομῶντος σοᾷ διακείμενον, μᾶλλον τοῖς πόῤῥω τὴν χάριν ἐπιμετρᾶν, ᾧ ὅ τοῖς ἔτεσιν ὁ παράλυτος ἐκ ἔχε τυχὼν, τοσῶν ἡμερῶν ἐνταῦθα, πολλῷ δ' εἰπεῖν ὡρῶν ἤνυσε χρόνος, μὴ ἀγγέλῳ κινοῦντος τὸ ὕδωρ ἐφάπαξ ᾧ ἐκταράσσοντος. ἀλλ' αὐτῆς τῆς τοῦ λόγου μητρὸς καὶ τῶν ἀγγέλων ὑπερανωκισμένης, θυμῆρες καὶ πρὸς πᾶσαν νόσον ἠρέμα δεξιὸν παρισώσης. πρὸς ποῖον οὖν ἄλλο τὸ ὕδωρ τοῦτο, τῶν κατ' ἀνθρώπους παραβλητέον, εἴγε τέως χρὴ ᾧ τοῦτο ὕδωρ καλεῖν, ἀλλὰ μὴ νέκταρος ἀπορῥῶγα, ἢ ἀμβροσίαν, ἢ ἄλλό τι τῶν ἀπὸ λωτοῦ διεσκευασμένων, ὡς ἂν ἐρῇ ποιητὴς, ἢ μᾶλλον τὸ προσῆκον εἰπεῖν, μάννα καὶ χειμάῤῥου εἴ τινά περ ἀκόης τρυφῆς, προθεὶς γάρ τις ἐκ τούτου τὴν κύλικα ἀθρόον εἰλκύσει τὸ ὕδωρ. ἐσάπαξ δὲ γευσάμενος, παρ' αὐτῷ μένειν ἐθέλοι χαλεπῶς ἀξιῶν ἀποχωρεῖν, φαίης ἂν ᾧ χάριτας ἁπάσας περιχεῖσθαι τῷ ὕδατι συνεργαζομένας ᾧ συνυπηρετούσας τῇ κεχαριτωμένῃ, τὸ πρὸς πᾶν δεξιόν. καί μοι δοκεῖ χώρων εἶναι πάντων ἔτος ὁ κάλλιστος. ὃν γὰρ ἡ τοῦ θεοῦ μήτηρ πάντων τῶν ἄλλων εἵλετο, ᾧ ταῖς παρ' αὐτῆς εὐεργεσίαις πεποίηκεν ἐκφανέστατον, ἥπερ σφόδρα ἔτος κράτιστος τῶν ἐν γῇ. ἄριστον μὲν δὴ ᾧ τὸ ὕδωρ ἁπάντων, ὡς εἰκάσαι μηδ' ἄν πω ῥυῆναι ἄλλο ὑγιεινότερον. ἔστι γὰρ, ὡς οἷον εἰπεῖν, λεπτότατον ἁπάντων καὶ διειδέστατον, καὶ ὅτι ἐγγυτάτω ἀέρος. ἔπεται δὴ κουφότατον εἶναι πάντως καὶ πρωτότατον μάλιστα, ὥστε ἤν τις ὕδωρ ἕτερον τῇ πηγῇ ἐπιῤῥίψειεν, ἐκεῖνο μὲν δύεται, τὸ δ' ἀνατάνεισιν αὐτίκα ὥσπερ ἐπινηχόμενον. δοκεῖ δέ μοι καὶ αὐτὸ τὸ ἐπεγχυθὲν ἱκανὸν

νὸν ἂν ὑψῶσαι, τῇ ὑπερβαλλούσῃ κουφότητι, καὶ τὸ μὴ κόμπον ἄλλως εἶναι τὸν λόγον, κρίνει τοῦτο σαθμός. καὶ δὴ γλυκύ τε ἐστιν ὑπερφυῶς, ᾧ ποτίμων δηλαδὴ ποτιμώτατον, κατὰ διάμετρον τῷ τῆς συγὸς ὕδατι ἐν παντὶ, μηδὲν φρικῶδες ὑποσημαῖνον, ᾧ ἐς ἀεὶ μὲν χεόμενον, τὸν δ' ὅρον ὑπερβαῖνον μηδέποτε, ἅτε γὰρ διάκονον ᾧ συνεργὸν τῇ φιλανθρωποτάτῃ τοῦ λόγου μητρί. ἀεὶ πλῆρές ἐστι, ᾧ ὥσπερ ἐκείνῃ ἄσχολον ἔργον τὰ ἡμέτερα εὖ πράττειν, οὕτω καὶ ἡ πηγὴ τὴν ὄντως ζωήῤῥυτον καὶ ἀένναον ἐκμιμουμένη χάριν τῆς Θεομήτορος, ἀεί. προβάλλει τὸ ῥεῖθρον τὴν τῶν δεομένων χρείαν ἀποπληροῦν. πολλοὶ μὲν γὰρ νιψάμενοι ὀφθαλμοὺς ἐκομίσαντο. ἄλλοι πιόντες τὸ στέρνον ἰάσαντο. ᾧ τὴν ἀγωγὴν τοῦ πνεύματος ἀνελάβοντο ἕτεροι. ἄλλοις κατὰ πόδα χυθὲν, τάτους ἠνώρθωσε. καὶ ῥεῦμα ἕτερος ἀνέσχε σπασάμενος. ἤδη δέ τις πιὼν ἐξ ἀφώνου φωνὴν ἀναῤῥήγνυσι. σεσίγηκε καχαλία, καὶ ὁ τοῦ Ἀπόλλωνος ἐν δελφοῖς τρίπους ἐψεύσατο. μόνον δὲ τὸ τῆς πηγῆς ὕδωρ κελαρύζον πρόεισιν ἐκχεόμενον, ἄφθονα καὶ ἀληθῆ τὰ ῥεύματα προϊὸν, καὶ ὑπὲρ τὴν καχαλίαν βοᾷ ἅπανταχοῦ τῆς γῆς φωνὴν ἀφιεὶς τῇ τῶν θαυμάτων περιουσίᾳ. τοῦτο δὴ καὶ νοσοῦσι, καὶ ὑγιείας ἐνκαλῷ καθεζῶσι, σωτήριον, ᾧ ἀλεξιφάρμακον, ᾧ χρῆσιν ὕδατος ἑτέρᾳ, ἐκ ἀμέμπτον ἐνεργεῖ. πάντα γὰρ ἐν δευτέρῳ τούτου τετάχται. ἔοικε δὲ τῶν ἄλλων μεταχόντι τὸ κρεῖττόν τινι, ὥσπερ μετ' ἀνθοσμίαν οἶνον τινα πίνειν ἐξηκριβωκότα τε, ᾧ ὀξώδη. ἀλλ' ἔστι τοῦτο ὑπὲρ νέκταρ, οἷόν τι πότιμον ᾧ αὐτόχυμον, ὑπερφυᾷ τινι χράσει κεκραμένον ἀρκύντος. ἀγάρ τι μόνον πόμα ποτάτων ἡδίσιόν ἐστιν, ἀλλὰ ᾧ λάσασθαι ἀσφαλέστατον, ἐπὶ ψυχρῷ ᾧ ταῦτα τῷ περιέχοντι, ἄμικτον θέρμης ἁπάσης. ἀγὰρ πρὸς τὰς ὥρας τοῦ ἔτους ἀντέσραπται. αὐτίκα γὰρ θέρους μὲν αὐτὸ ἑαυτοῦ

ψυχρότατον, χειμῶνος δὲ ἡπιώτατον, τὰ ἐκ τῆ καιρῆ δυσχερῆ ἀεὶ λύον ϗ ξενοτρόπως παραμυθέμενον. καί τις κρυσάλλω πεπηγότος προτείνας τὴν χεῖρα ϗ νιψάμενος, ἴσως δὲ ϗ νόσῳ τινι κατὰ κεφαλῆς ἐγχεόμενος, ἥδετο θερμότερος γενόμενος ἑαυτῆ, ϗ τ' ἄλλα πάντα συνεργῷ ἡ τῆ θεῆ μήτηρ χρῆται τῷ ὕδατι, ϗ συμβάλλεται πᾶσι τῆτο τὰ πρὸς ἔφεσιν ἐκτελοῦν. ϗ ἴζι δὴ ἱερὸν τῷ ὄντι τὸ ὕδωρ, ἀ τῷ μὴ ψάυειν τοῖς πολλοῖς εἶναι ἀθέμιτον, ἀλλ' ἔζιν ἐκ τἐναντίον ἐν τέτῳ μᾶλλον εἶναι τὸ ἱερὸν, τῷ πᾶσιν ἐφειμένον εἶναι ὁπωσδήποτέ τις βέλοιτο χρῆθαι, ϗ ἵνα συνελὼν εἴπω, τοσῆτον τῆ μεγέθες περίεζι τῇ πηγῇ, ἵνα μικρόν τι παρωδήσας τῆς τραγωδίας ἐρῶ, ἐκ ἔζι δεινὸν ᾧ δ' εἰπεῖν ἔπος, ἀδὲ πάθος, ἀδὲ ξυμφορὰ ἐν ἀνθρώποις θελατος, ἧς ἐκ ἂν ἄραι τ' ἄχθος ἡ τῆ παρόντος ὕδατος φύσις. ἐγὼ μὲν οὖν ἀδέ τι τῶν ἁπάντων, ἀδὲ ὅ,τι ἂν εἴποι τις τῶν ὑδάτων παραβάλλειν ἔχοιμι τῷ πᾶντα καλῷ, ϗ τὸ ὅλον ἀχράντῳ ϗ ἱερῷ ὕδατι. φαίην δ' ἂν τῆτο τοσέτῳ ἐφ' ἅπασι νικῶν ὕδασιν εἶναι, ὅσῳπερ καὶ τὴν αὐτῆ προσάτιν ἀσυγχρίτως ὑπερκειμένην, τῶν ὅσα ὑπ' αἰθησίν τε, ϗ αὐλίαν μετὰ τὸ ἀκήρατον αἴτιον. ὅσια δ' ἂν λέγοιμεν προσηκόντως κρίνοντες, οἷς αὐτὴ ταύτην τὴν ψῆφον ἐξήνεγκε, κάλλισόν τε ϗ ἄρισον ὑδάτων κρίνασα εἶναι, τῷ διατρίβειν αἱρεῖθαι τέτῳ, καὶ κατακοσμεῖν ταῖς τῶν θαυμάτων ὑπερφυέσι πλημμύραις, ϗ ἀναχωρεῖν ἥκιζα βέλεθαι, ἕως ἕ καὶ τῷ ἡλίῳ τὰ περὶ τὴν γῆν ἐφορᾶν θέμις. Α'λλ' ὦ πηγὴ ἀένναε καὶ ἀείῤῥοε, ὦ πέλαγος ἀχανὲς καὶ ἀδιεξίτητον, ἀ μᾶλλον ὕδωρ, ἢ τὸν ζῶντα λόγον προχέασα, δέχα δὴ τὸν ἡμέτερον λόγον τόνδε, ϛαγόνα οἷον, ϗ ϛαγόνος ὅσον τἐλάχιζον, τῷ σῷ τῆς εὐφημίας πελάγει χεόμενον, ϗ ῥανίδα τῶν σῶν θαυμάτων ἐξ ἀπείρων βραχυτάτην ψεκάζοντα. σὺ δ' ἀντὶ τέτε τὸν ἄφθο-

νον

νον πηγάσαι μοι ῥεῦν, τὸν ζῶντα λόγον καὶ ἐνυπόϛατον, τά τε ἡμέτερα πρὸς τὸ κρεῖττον μεταῤῥυθμίζοντα, καὶ τὸ τῆ λόγε νᾶμα διειδέϛερον ἐπιμετροῦντα καὶ ὅσον εἰκός μοι ποτίζοντα, μήτε θολερῶν τῶν ἔξω πάμπαν, καὶ ἁλυκῶν ναμάτων ἀναπιμπλάμενον, ἀλλ' εὐφυῶς κεραννῦντα, ϗ τοῖς ποτίμοις τῶν αὐτῆ ζωηῤῥύτων, καὶ ὑπὲρ μέλι νοσίμων λόγων τὸ ἁλμυρὸν ἀποκλύζοντα. ὅτι αὐτῷ πρέπει πᾶσα δόξα, τιμὴ, καὶ μεγαλοπρέπεια, σὺν τῷ ἀνάρχῳ αὐτῆ πατρὶ τῇ πηγῇ, ϗ αἰτίᾳ πάντων τῶν ἀγαθῶν, ϗ τῷ παναγίῳ, καὶ ἀγαθῷ, καὶ ζωοποιῷ αὐτῆ πνεύματι, πάντοτε, νῦν, ϗ ἀεὶ, ϗ εἰς τὲς αἰῶνας τῶν αἰώνων ἀμήν.



ΕΘΝΙΚΟΝ ΜΕΤΣΟΒΙΟΝ ΠΟΛΥΤΕΧΝΕΙΟ ΒΙΒΛΙΟΘΗΚΗ ΓΕΩΡΓΙΟΣ ΠΑΠΑΣΤΡΑΤΟΣ

Βίος καὶ πολιτεία, ὁμολογία τε, καὶ μερικὴ θαυμάτων διήγησις, τῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Κλήμεντος ἀρχιεπισκόπυ Βουλγάρων. συγγραφεὶς παρὰ τῦ ἁγιωτάτυ καὶ ἀοιδίμυ ἀρχιεπισκόπυ τῆς πρώτης Γουσιννιανῆς, καὶ πάσης Βλγαρίας, κυρίυ Θεοφυλάκτυ, τῦ καὶ μαΐζορος τῶν ῥητόρων χρηματίσαντος ἐν Κωνσταντινυπόλει.

Δεῦτε τέκνα ἀκύσατέ μου, δεῦτε καὶ διηγήσομαι ὑμῖν πάντες οἱ φοβούμενοι τὸν Θεὸν, ὅπως ἂν γνῶ γενεὰ ἑτέρα, υἱοὶ τεχθησόμενοι, καὶ λαὸς ὁ κτιζόμενος αἰνέσῃ τὸν κύριον. ταῦτα μὲν Δαβὶδ εἴρηκεν, ἡμεῖς δὲ μετ' αὐτῦ σήμερον. δεῖ γὰρ τὴν θείαν μεγαλοσύνην ἐκδιηγεῖσθαι πάντοτε καὶ πρὸς ἅπαντας. οὐ τάυτῃ μόνον, ὅσα γὰρ ἂν ἀπαγγείλωμεν καὶ λαλήσομεν, ὑπὲρ ἀριθμὸν ἐπληθύνθησαν τὰ λειπόμενα. ἀλλ' ὅτι καὶ τοῖς ῥαθυμωτέροις καὶ πρὸς τὴν τῦ καλῦ ἐργασίαν ἀπονυσάξασι, διϋπνισμός τις γίνεται ἡ τῶν τῦ Θεῦ θαυμασίων κηρυττομένη μεγαλοπρέπεια. οἴονται γὰρ οἱ πολλοὶ τὰς καθ' ἡμᾶς, καιρὰς

ἐκ

ἐκ ἄντι τῶν ἀρχαίων χωρῆσαι. ἀλλὰ τὰς μὲν προτέρας χρόνους, καὶ θαύμασι λαμπρυνθῆναι, καὶ βίοις ἀνδρῶν κοσμηθῆναι, ἀσωμάτως σχεδὸν ζησάντων ἐν σώματι· τῇ δὲ ἡμετέρᾳ γενεᾷ, οὐδὲν τοιοῦτον δωρηθῆναι παρὰ Θεοῦ. ὅθεν καὶ πρὸς τὸν σπουδαῖον βίον ὡς τῆς νῦν φύσεως μὴ δεχομένης τοῦτον, ἐλεεινῶς γε ἀπενάρκησαν. κακῶς γε εἰδότες ἐκεῖνοι καὶ λίαν ἐπισφαλῶς. ὅ,τε γὰρ τῆς φύσεως λόγος, ὁ αὐτός ἐςι καὶ ἐκ ἡλλοίωται. καὶ κατέλιπεν ἑαυτῷ κύριος, κἀν τοῖς ἡμετέροις χρόνοις, ἄνδρας μάλα πολλὰς, οἳ γόνυ τῶν κάτω συρομένων οὐδενὶ κάμψαντες, εἰς δόξαν τοῦ ἐρανίου Πατρὸς τῷ τοῦ βίου φωτὶ διέλαμψαν, φωςῆρες ἐν κόσμῳ γεγονότες λόγον ζωῆς ἐπέχοντες. ὥσπερ οὖν καὶ τὴν τῶν Βυλγάρων χώραν ἐφώτισαν ἐν τοῖς ἐσχάτοις καιροῖς. πατέρες μακάριοι καὶ διδάσκαλοι, λάμψαντες διδάγμασίτε καὶ θαύμασι, καὶ βίῳ καὶ λόγῳ κατασάντες παρὰ Θεῷ ἀμφιδέξιοι, ὧν τὸν πάντα μὲν βίον παραδιδόναι γραφῇ, εὐχῆς ἔργον ἐμοί. πλὴν ἀλλὰ κρεῖττον τῆς τοῦ λόγου δυνάμεως. ὀλίγα δέ τινα παραθέμενος, τοῦ τε Θεοῦ τὴν φιλανθρωπίαν καὶ τὴν χάριν τεκμηριώσομαι, μεθ' ἡμῶν ὄντος καὶ ἐσομένου πάσας τὰς ἡμέρας ἕως τῆς συντελείας ὡς ἡ ὑπόσχεσις, καὶ δείξωπᾶσιν ἀνθρώποις ὡς ἀφ' ἡ φύσις ἡμῖν ἡλλοίωται, ἀλλὰ διέςραπται ἡπροαίρεσις. τίνες οὖν οἱ πατέρες ἔτοι τάχα ζητεῖτε μαθεῖν; Μεθόδιος, ὃς τὴν Πανόνων ἐπαρχίαν ἐκόσμησεν, ἀρχιεπίσκοπος Μοράβου γενόμενος, καὶ Κύριλλος ὁπολὺς μὲν τὴν ἔξω φιλοσοφίαν, πλείων δὲ τὴν ἔσω, καὶ τῆς τῶν ὄντων φύσεως ἐπιγνώμων, μᾶλλον δὲ τοῦ ἑνὸς ὄντος, παρ' ἓ τὰ πάντα ἐκ μὴ φαινομένων τὸ εἶναι ἔλαβον. οὗτοι γὰρ δὴ διὰ τὴν τοῦ βίου καθαρότητα, Θεὸν λαβόντες ἐν ἑαυτοῖς, καὶ διὰ τοῦ τὸν φόβον λαβεῖν ἐν γαςρὶ τὸ σωτηριῶδες Πνεῦμα ἀποτεκεῖν σπεύδοντες, εἴχοντα μὲν

μὲν ἱκανῶς λόγου διδασκαλικοῦ, ἑλλάδι γλώττῃ προφερομένου, ᾗ πολὺς εἴλκεν ἡ τῆς τοιαύτης σοφίας ἅλυσις, ἐπεὶ δὲ τὸ τῶν Σθλοβενῶν γένος εἴτουν Βυλγάρων ἀσυνέτως εἶχον τῶν ἑλλάδι γλώσσῃ συντεθειμένων γραφῶν, ζημίαν ἡγοῦντο τοῦτο μεγίςην οἱ ἅγιοι. καὶ τὸ μὴ τὸν λύχνον τῶν γραφῶν ἐπανάπτεσθαι τῷ τῶν βυλγάρων αὐχμηρῷ τόπῳ, ἀπαρακλήτου λύπης ἐποιοῦντο ὑπόθεσιν. ἤλυον, ἐδυσφόρουν, ἀπελέγοντο τὴν ζωήν. τί γοῦν ποιῶσι; πρὸς τὸν Παράκλητον ἀποβλέπουσιν. ὃ πρῶτον δῶρον αἱ γλῶσσαι καὶ τοῦ λόγου βοήθεια. ᾗ παρὰ τούτου τὴν χάριν ταύτην αἰτοῦνται. γράμματά τε ἐξευρέσθαι δασύτητι βουλγάρου γλώσσης κατάλληλα, ᾗ δυνηθῆναι τὰς θείας γραφὰς, πρὸς τὴν φωνὴν τοῦ ἔθνους τῇ ἑρμηνείᾳ μεταγαγεῖν. ἀμέλει καὶ νηςείᾳ εὐτόνῳ, καὶ προσευχῇ ἐπιμόνῳ, κακώσειτε σώματος, ᾗ ψυχῆς συντριβῇ, καὶ ταπεινώσει ἐκδόντες ἑαυτὸς, τοῦ ποθουμένου τυγχάνουσιν. ἐγγὺς γάρ φησι κύριος, πᾶσι τοῖς ἐπικαλουμένοις αὐτὸν ἐν ἀληθείᾳ. ᾗ ἔτι λαλοῦντος σου ἐρεῖ, ἰδοὺ πάρειμι. Θεὸς γὰρ ἐγγίζων ἐγώ εἰμι καὶ ὁ Θεὸς πόῤῥωθεν. ἀνταναβαίνων ἦν ᾗ ἦτοι τὴν τοῦ Πνεύματος χάριν, ὡς ὄρθρον ἕτοιμον. καὶ φῶς ἀνέτειλε τοῖς δικαίοις γνώσεως, καὶ ἡσύζυγος αὐτῶν εὐφροσύνη τὴν προτέραν λύπην αὐτῶν ἀπήλασε. τυχόντες οὖν τοῦ εὐκταίου τούτου χαρίσματος, ἐξευρίσκουσι μὲν τὰ Σθλοβενικὰ γράμματα, ἑρμηνεύουσι δὲ τὰς θεοπνεύςους γραφὰς, ἐκ τῆς ἑλλάδος γλώττης εἰς τὴν βυλγαρικήν. ποιοῦνται δὲ σπουδὴν τοῖς ὀξυτέροις τῶν μαθητῶν παραδοῦναι τὰ θεῖα μαθήματα. οὐκ ὀλίγοι γὰρ τῆς διδασκαλικῆς αὐτῶν πηγῆς ἔπινον. ὧν ἔγκριτοί τε καὶ τοῦ χοροῦ κορυφαῖοι, Γοράσδοςτε καὶ Κλήμης ᾗ Ναοὺμ καὶ Ἀγγελάριος καὶ Σάββας. ἐπεὶ δὲ καὶ Παῦλον ἐγίνωσκον τοῖς Ἀποςόλοις τὸ Εὐαγγέλιον κοινωσάμενον, τρέχουσι

καὶ

καὶ αὐτοὶ πρὸς τὸν Ῥ᾽ώμης, τῷ μακαρίῳ Πάπᾳ τὸ ἔργον τῆς ἑρμηνείας τῶν γραφῶν ἐμφανίσοντες, ἐκατηυδύνθη ἐπ᾽ αὐτὰς καὶ μὴ εἰς κενὸν ἔδραμον. ὁδὲ τηνικαῦτα τοῖς ἀποσολικοῖς ἐμπρέπων θρόνοις Ἀδριανὸς, τὴν τάτων ἀκάσας ἔλευσιν, ἐχάρη μὲν χαρὰν μεγάλην σφόδρα. ἐκμακροῦ γὰρ τῇ βροντῇ τῆς περὶ τῶν ἁγίων φήμης καταπλυττόμενος, ἐπόθει καὶ τὴν ἀςραπὴν ἰδεῖν τῆς ἐν αὐτοῖς χάριτος· ἐκεῖνο, πάχων πρὸς τὰς θείας ἄνδρας, ὃ Μωσῆς πρὸς Θεὸν. καὶ ὄψιν αὐτῷ ἐμφανισθῆναι, ᾗ γνωςῶς ἰδεῖν ἐφιέμενος· ἀχ ἔτι δὲ κατέχειν οἷός τε ἦν ἑαυτὸν, ἀλλὰ τὸ Γερατικὸν ἅπαν σὺν τῷ παρευρεθέντι Ἀρχιερατικῷ προσλαβόμενος, ἐξῆλθεν εἰς τὴν τῶν ἁγίων συνάντησιν. τὸ τᾶ σταυρᾶ τε σημεῖον προπορευόμενον αὐτᾶ κατὰ τὸ, εἰωθὸς ἔχων, καὶ τῷ τῶν λαμπάδων φωτὶ, τὴν τῆς χαρᾶς, ἐπισημάινων φαιδρότητα. ἔςι δ᾽ εἰπεῖν ὅτι ᾗ τὴν τῶν ἐπιξενωμένων λαμπρότητα. οὓς δοξάζων ὁ τοῖς ἁγίοις ἐνδοξαζόμενος Κύριος, θαύματα πολλὰ τελεσθῆναι παρ᾽ αὐτῶν, κατὰ τὸν τῆς εἰσόδα καιρὸν εὐδόκησεν. ὡς δὲ ᾗ τὸ ἔργον ἐμφανισθείη τῷ Πάπᾳ, ᾗ τὴν τῶν γραφῶν ἐν γλώττῃ μετάθεσιν κατασκέψαιτο, ἀποσολικὴν ἅσαν γέννημα, ἀχ εἶχεν ὃ χρήσαιτο τῇ χαρᾷ· ἐμακάριζε τὰς ἄνδρας, παντοίοις ὀνόμασιν ἀνεκάλει, πατέρας, ἐπιπόθητα τέκνα, χαρὰν οἰκείαν, ςέφανον πίςεως, δόξης ᾗ κάλλος ἐκκλησίας διάδημα. ἐπὶ τάτοις τί ποιεῖ; τὰς ἑρμηνευθείσας βίβλας λαβὼν τῷ θείῳ θυσιαςηρίῳ προσήγαγεν, οἷοντι ἀνάθημα ταύτας καθιερῶν τῷ Θεῷ. καὶ δεικνὺς ὡς τοιαύταις θυσίαις καρπῶν χειλέων εὐαρεςεῖται Θεὸς. καὶ εἰς ὀσμὴν εὐωδίας τὰς τοιατοτρόπας καρπώσεις δέχεται. τί γὰρ τῷ λόγῳ λόγα τὰς λογικὰς ἀλογίας λυτρουμένα τερπνότερον, εἴπερ τῷ ὁμοίῳ τὸ ὅμοιον ἥδεται. ἀποσολικάς τε τὰς ἄνδρας, ἐπ᾽ ἐκκλησίας ἐκήρυξεν,

τῷ

τῷ Παύλῳ τὸν ἴσον ὑποδύντας ἀγῶνα, ᾗ τὴν τῶν ἐθνῶν προσφοράν, τελείαν καὶ ἁγίαν τῷ Θεῷ προσενεγκεῖν σπεύσαντας. εἶτα τῶν ἑπομένων τοῖς ἁγίοις, ὅσοι ᾗ ὠλοβενικῶν γραμμάτων ἱκανὴν πεῖραν ἔχειν, καὶ βίῳ σεμνῷ κοσμηθῆναι παρὰ τῶν διδασκάλων ἐμαρτυροῦντο, τὰς μὲν, τᾶ τῶν πρεσβυτέρων, τὰς δὲ, τᾶ τῶν διακόνων, ἔςι δ᾽ ἃς καὶ ὑποδιακόνων βαθμᾶ ἠξίωσεν, αὐτὸν δὲ τὸν μέγαν Μεθόδιον, καίτοι πολλὰ δραπετεύοντα καὶ ἀναδυόμενον, ἐπίσκοπον Μοράβα τῆς Πανονίας χειροτονεῖ. ἀχ ὅσιον εἶναι κρίνας ἀμοιρεῖν τᾶ ὀνόματος, τὸν ἀξιωθέντα τᾶ πράγματος, ἴσον γὰρ πλημμελεῖσθαι ὅταν τε τᾶ ὀνόματός τις τύχῃ πάμπολυ διωχισμένος τᾶ πράγματος, ᾗ ὅταν ἐπίσκοπός τις ὢν τοῖς ἔργοις καὶ τῷ ἀξιώματι παροᾶται τάξει τῶν ἰδιωτῶν ὑποκρύπτεσθαι, ᾗ λύχνος ὢν, ὑπὸ τὴν κλίνην τῆς ἀφανείας τιθῆται. ἀλλὰ Μεθόδιον μὲν, ἅτως ὁ Ῥ᾽ώμης ἀρχιερεὺς τῷ ἐπισκοπικῷ τιμᾷ ἀξιώματι, μᾶλλον δὲ τὴν ἐπισκοπὴν δι᾽ αὐτᾶ. Κύριλλον δὲ τὸν ὄντως φιλόσοφον ὁμέγας ἀρχιερεὺς, εἰς τὰ τῶν ἁγίων προσκαλεῖται ἅγια, ἐκεῖ λειτουργήσοντα ἔνδον τῆς σκηνῆς τῆς ἀληθινῆς, ᾗ τῶν μυςηρίων μεταλημψόμενον πνευματικώτερον καὶ θειότερον, καὶ ποτηρίᾳ τᾶ καινᾶ κοινωνήσοντα· ὥσπερ γὰρ ἐπὶ τάτῳ παραμεῖναι ἐαθεὶς τῇ σαρκὶ, ἵνα τήν τε τῶν γραμμάτων εὕρεσιν καὶ τὴν τῶν γραφῶν μετάθεσιν πραγματεύσηται, μετὰ τὸ ταῦτα διακονῆσαι τῷ θείῳ βαλήματι, παρὰ τᾶ διδάξαντος αὐτὸν τὴν γνῶσιν Θεοῦ προσλαμβάνεται. προγνὰς δὲ τὴν ἑαυτᾶ τελευτὴν, τὸ τῶν μοναχῶν σχῆμα ἐπαμφιέννυται, καὶ πάλαι μὲν, τᾶτο ποθῶν, διὰ δὲ μετριοφροσύνην, ὡς μέγατι ᾗ τὴν αὐτᾶ ἰσχὺν ὑπερβαῖνον ἀναδυόμενος, καὶ φωτὶ φῶς προσλαβὼν, εἰς ἐρανὰς μετέςη, οὗ ὁ Χριςὸς, τὴν τᾶ κλαυθμῶνος κοιλάδα, τὰ τᾶ σκοτασμᾶ σκηνώματα, τὸν πηλὸν

τῆς ἱλύος, τὴν ἐνταῦθα παροικίαν λιπών. καὶ τὸ πνεῦμα μὲν τῷ Θεῷ τῶν πνευμάτων παρέθηκε, σῶμα δὲ ἐκεῖνο τὸ πρὸ τῆς φυσικῆς νεκρώσεως τῆς προαιρετικῆς ἀπολαῦσαν, ὕμνοις ὑπότε τᾶ θείᾳ Πάπα καὶ τᾶ κλήρᾳ παντὸς φιλοτιμηθὲν, ἐγκατετέθη τῷ ναῷ Κλήμεντος. Κλήμεντος ἐκείνᾳ τᾶ τῷ κορυφαίῳ τῶν ἀποστόλων Πέτρῳ πεφοιτηκότος, ᾗ τῇ τᾶ Χριστᾶ σοφίᾳ τὴν ἑλληνικὴν οἷον δεσποίνῃ δάλην καθυποτάξαντος. καὶ δέχεται τὸν φιλόσοφον ὁφιλόσοφος. ὁμέγας διδάσκαλος, τὴν τᾶ λόγᾳ φωνὴν προσλαμβάνεται. ὁ τῶν ἐθνῶν καθηγητὴς τὸν τὰ λοιπὰ ἔθνη φωτὶ τῆς γνώσεως φωτίσαντα εἰσοικίζεται. ἐπισημαίνει δὲ ᾗ Θεὸς προσμαρτυρῶν τῷ Κυρίλλῳ τὴν ἐκδεχομένην δόξαν ἐν ὐρανοῖς, καὶ τὰ φαινόμενα, τῶν μὴ φαινομένων ποιεῖται κήρυκας. δαιμονῶντες τε γὰρ τῇ σορῷ προσελθόντες ἰάσεις εὕροντο, καὶ πολλαῖς ἄλλαις νόσοις ἡ τᾶ ἁγίᾳ πνεύματος χάρις μάσιξ ἐλάτειρα γέγονεν. ἅμα τε γάρ τις ἢ τῇ σορῷ προσίοι, ἢ τ' οὔνομα ἐπικαλοῖτο τᾶ θεοφόρᾳ τάτᾳ πατρὸς, καὶ τῆς τᾶ λυποῦντος ἀπαλλαγῆς μέτρον τὴν πίσιν εὑρισκεν. ὅθεν πολλοῖς ἐν τοῖς ῥωμαίων σόμασιν ὁ Κύριλλος ἔκειτο, καὶ πλείων ἐν ταῖς ψυχαῖς. ὡς εἶναι, τὰς μὲν θαυματεργίας τῆς περὶ αὐτᾶ δόξης ὑπόθεσιν, ταύτην δὲ, τῆς περιττοτέρας τιμῆς ἐπίβασιν. τὴν δὲ τᾶ ἁγίᾳ τιμὴν, τῆς τᾶ Θεᾶ δόξης βεβαίωσιν. ἀλλὰ Κυρίλλῳ μὲν, ἅτως ἡ τελευτὴ τιμὴ καὶ παρὰ τᾶ θειοτάτᾳ Πάπα καὶ παρὰ θεᾶ τετύχηκε. Μεθόδιος δὲ τὸν σύμπονον ἀποβαλὼν ᾗ συνέμπορον, τὸν τὰ πάντα καὶ ἐν σαρκὶ, ᾗ ἐν Κυρίῳ γνήσιον ἀδελφὸν, λύπῃ μὲν τὴν καρδίαν ἐπεβάλλετο, πάρχων τᾶτο δὴ τὸ ἀνθρώπινον, ᾗ συνηθείας ἁλώσιμος ἦν. παρεκαλεῖτο δ' ἑτέρωθεν, ἀδὲν ἧττον, εἰ μὴ καὶ μᾶλλον ἐλπίζων ἔχειν τὸν Κυρίλλου τᾶ τῆς διδασκαλίας ἔργᾳ συλλήπτορα, ὅσῳ

σῳ καὶ θεῷ πλησιάζοντα ἐκτὸς τῆς σαρκὸς, ἀνυσιμωτέραν ἔχειν τὴν παῤῥησίαν. ἐπεὶ δὲ καιρὸς ἦν Μεθοδίῳ τὴν ἐπὶ τὴν τῆς χώρας ταύτης ἐπισκοπὴν ἀπιδεῖν, περιχυθεὶς τὸ μνῆμα τᾶ ἀδελφᾶ, ᾗ θαμινὰ τὸ φίλον ὄνομα, τὸν Κύριλλον, ἀνακαλεσάμενος, ᾗ τὴν σωματικὴν μὲν ἐρημίαν ἀνακλαυσάμενος, τὴν δὲ τῶν πρεσβειῶν χεῖρα εἰς βοήθειαν ἐπικαλεσάμενος ὁδᾶ σὺν τοῖς μαθηταῖς εἴχετο. ὡς δὲ τὸν Μόραβον καταλάβοι, αὐτὸ τᾶτο ἐπίσκοπος ἦν. ὅσα παρὰ Παύλᾳ χρώματα τῇ τᾶ ἐπισκόπᾳ εἰκόνι ἐπεβλήθησαν, ἑαυτῷ ἐνεπιδεικνύμενος, ᾗ πάντων προλάμπων τὸ διδακτικὸν, ἀγὰρ κατορύξας τὸ τάλαντον, ἀδὲ τὴν χάριν ἀπεμπωλήσας τᾶ πνευματικᾶ δώρᾳ, τὴν ἀρχὴν, τρυφῆς ἀρχὴν ἐποιήσατο. ἀλλὰ πᾶσιν ἐκοινᾶτο τὸ ἀγαθὸν, ἀνατέλλων ἐπίσης τᾶ λόγᾳ τὸν ἥλιον, καὶ περὶ τὸ διδόναι μὴ ἐνδιδὰς τὸ εὐαγγελίᾳ σιτομέτριον. ὅς γὰρ καὶ πρὸ τῆς ἐπισκοπῆς ἅτω τῷ λόγῳ τῆς διδασκαλίας προσέκειτο, ᾗ ταῦτα μὴ ἐγκινδυνεύων τῷ πράγματι, πῶς ὅταν ἐπισεύθη τὸ ἔργον καὶ τὴν παρακαταθήκην ἔλαβε, ᾗ τὸ ἀεὶ ἤδη τῷ ἀποστόλῳ μὴ εὐαγγελιζομένῳ ἀποκληρώμενον, ἀκ ἔμελλεν τῆς διδασκαλίας ἀνθέξεσθαίτε καὶ περιέξεσθαι, ᾗ ὅλην τὴν ἡμέραν, μελέτην ἔχειν τὰ θεῖα λόγια, ὑπὲρ μέλι καὶ κηρίον αὐτῷ ταττόμενα τὴν γλυκύτητα; ἀμέλει καὶ τῷ τότε ἄρχοντι Μοράβᾳ Ῥασισθλάβῳ καθ' ἑκάσην ἀδιέλιπε παραινῶν, καὶ ταῖς θείαις ἐντολαῖς, ῥυθμίζων αὐτῷ τὴν ψυχήν. ἀλλὰ καὶ τὸν τῆς Πανονίας συμπάσης κρατοῦντα, Κοτζέλης ὄνομα τᾶτῳ, παιδεύων ἦν καὶ ναθετῶν τῷ φόβῳ κυρίᾳ καθηλῶσθαι, ᾗ τᾶτῳ ἐκκλίνειν ἀπὸ παντὸς κακᾶ, οἷόν τινι χαλινῷ ἀνακρουόμενον ᾗ ἀνασελλόμενον. ἀμὴν ἀλλὰ καὶ τὸν τῶν Βλγάρων ἄρχοντα Βορίσην, ὃς ἐπὶ τᾶ τῶν Ῥωμαίων Βασιλέως Μιχαὴλ ἦν, ᾗ τᾶτον ὁμέγας Μεθόδιος καὶ πάλαι

μὲν

μὲν τέκνον ἐποιήσατο, ᾗ τῆς οἰκείας γλώττης, τῆς πάντα καλῆς ἐξηρτήσατο, καὶ τότε δὲ ταῖς τῶν λόγων εὐεργεσίαις ἀδιαλείπτως εἶλε δωρούμενος. ἦν γὰρ ὁ Βορίσης ἕτος, ᾗ ἄλλως γνώμης δεξιᾶς καὶ τῆ ἀγαθῆ δεκτικῆς. ἐφ' οὗ ᾗ τὸ τῶν Βουλγάρων ἔθνος τῆ θείᾳ τε καταξιῶσθαι βαπτίσματος, ᾗ χριστιανίζειν ἤρξαντο. ὅτε δὴ καὶ οἱ ἅγιοι ἥτοι Κύριλλος φημὶ καὶ Μεθόδιος, τὸ πλῆθος τῶν πιστευόντων ἰδόντες, καὶ ὡς πολλὰ μὲν τέκνα γενῶνται δι' ὕδατός τε καὶ πνεύματος, ᾗ τροφῆς δὲ πάντως πνευματικῆς δέονται, γράμματα ἐξεύροντο καθὸ προειρήκαμεν, ᾗ τὴν τῶν γραφῶν ἐπὶ τὸ Βουλγαρικὸν μετάθεσιν ἐποιήσαντο, ἵνα τὰ γεννηθέντα τέκνα τῆ Θεῆ, ᾗ θείας τροφῆς ἱκανῶς ἔχειεν, ᾗ εἰς αὔξησιν πνευματικὴν, εἰς μέτρον ἡλικίας τῆ Χριστῆ ἀνατρέχοιεν. ᾗ ἅτω, τῆς σκυθικῆς πλάνης τὸ Βουλγάρων ἔθνος ἀπαλλαγὲν, τὴν ἀληθινὴν καὶ ἀπλανεστάτην ὁδὸν, τὸν Χριστὸν ἐπέγνωσαν, ὀψὲ μὲν καὶ περὶ τὴν ἑνδεκάτην ἢ δωδεκάτην, τὸν θεῖον δ' οὖν ἀμπελῶνα εἰσεληλυθὸς, τῇ τῆ καλέσαντος χάριτι. ἐν ἔτει γὰρ ἑξακισχιλιοστῷ τριακοσιοστῷ ἑβδομηκοστῷ ἑβδόμῳ τῆς τῆ κόσμου γενέσεως ἡ τότε τῆ γένους κλῆσις γεγένηται. ἐκ ἔλαγεν οὖν ὁμέγας Μεθόδιος πᾶσαν νεθεσίαν τοῖς ἄρχουσι προσάγων ἑκάστοτε, ᾗ τοῦτο μὲν πρὸς βίον σεμνὸν ὁδηγῶν, τοῦτο δὲ τὸ τῆς ἐκκλησίας ἀπαραποίητον δόγμα παρατιθεὶς οἷόν τι νόμισμα βασιλικὸν ᾗ ἀκίβδηλον, ᾗ ταῖς ψυχαῖς αὐτῶν ἐνσφραγίζων ἀνεπιβλεύτοντε καὶ ἄσυλον· ἦσαν γὰρ ἦσαν οἱ τοῦτο καὶ τότε παραχαράττοντες, καὶ μετακινοῦντες ὅρια, ἃ οἱ πατέρες ἡμῶν τῇ ἐκκλησίᾳ τῆ Θεῆ ἔθεντο, καὶ τῇ ὑπὸ τῶν φράγγων εἰσαγομένῃ παραφθορᾷ, πολλοὶ τὰς ψυχὰς ἐβλάπτοντο, οἱ τὸν μὲν Υἱὸν γεννηθῆναι ἐκ τῆ Πατρὸς, τὸ δὲ Πνεῦμα ἐκ τῆ Υἱῆ ἐκπορεύεσθαι διετείνοντο, οἷς ὁ ἅγιος ἀνθιστάμενος, τοῦτο μὲν

μὲν ἐκ τῶν τῆ Κυρίᾳ λόγων, τοῦτο δὲ ἐκ φωνῶν πατρικῶν, λογισμὸς καθήρει, ᾗ πᾶν ὕψωμα τούτων κατὰ τῆς θείας γνώσεως ἐπαιρόμενον. πολλὰς δὲ καὶ ἡχμαλώτιζεν εἰς τὴν ὑπακοὴν τῆ Χριστοῦ, μετατιθεὶς ἀπὸ τῆς πλάνης δόξης, ἐπὶ τὴν ἀληθῆ καὶ ἀμώμητον. ᾗ τιμίως ἐξάγων ἐξ ἀναξίων, ᾗ διὰ τοῦτο σόμα Θεῆ καὶ γενόμενος, ᾗ λεγόμενος. ὅθεν τοῖς πιστοῖς καθ' ἑκάστην πλατυσμὸς ἐπεγίνετο, ᾗ ὁ λόγος τῆ Θεῆ ηὔξανεν. ὃ περὶ τῆς τῶν Ἀποστόλων διδαχῆς Λουκᾶ λέγοντος ἀκηκόαμεν. εἰβάλει δέμοι ἐκεῖνο τὸ παλαιὸν, ὁμὲν οἶκος Δαβὶδ ἐπορεύετο, ὁδὲ οἶκος Σαοὺλ ὑπεπόδιζε, καθ' ἑκάστην ἐλαττονούμενος. τὸ δὲ τῶν αἱρετικῶν σύστημα, τῇ τῆ λόγου δυνάμει καὶ τῇ ἀληθείᾳ νικώμενον, ὃ μόνον ἐδύναντο, μᾶλλον δὲ παρὰ τῆ Πατρὸς αὐτῶν ὑπεβάλλοντο, τῆ ἐξαρχῆς ἀνθρωποκτόνου, ᾗ τῷ κακοποιεῖν ἐγκαυχωμένου, τοῦτο δὴ καὶ εἰργάζοντο, μυρίαις κακώσεσι καὶ πειρασμοῖς τὸν ἅγιον θλίβοντες. ἐπεὶ καὶ τὸν Σφεντόπλικον, ὃς μετὰ Ῥασίσθλαβον ἦρξε Μοράβου περιελθόντες ἀπάτῃ, βάρβαρον ἄνδρα καὶ τῆ καλῆ ἀνόνητον, ὅλον τῆς δόξης ἑαυτῶν ἐποιήσαντο. τίδε ἂν ἔμελλεν ἐκεῖνος, ἀνδράποδον ἡδονῶν γυναικείων ὤν, καὶ τῷ βορβόρῳ τῶν μυσαρῶν ἐγκυλιόμενος πράξεων, ἐκείνοις μᾶλλον διδόναι τὴν οἰκείαν γνώμην, τοῖς θύραν αὐτῷ πρὸς τὰ πάθη πᾶσαν ἀνοίγουσιν, ἢ Μεθοδίῳ τῷ πάσης ἡδονῆς πικρίαν ψυχόλεθρον σιλιτεύοντι; ὅπερ γὰρ Εὐνόμιος ἐκεῖνος. ὁ τῆς τῶν ἀνομοίων ἄρξας αἱρέσεως ἐξεῦρε πρὸς τὸ μαθητὰς ἐπισπᾶσθαι πλείονας, τοῦτο δὴ καὶ τὸ φραγγῶν ἔθνος ἀνόητον ἐπενόησε, τὸ τῆς ἁμαρτάνεσι φημὶ πᾶντα συγχωρεῖν ἀπόνως οὕτω καὶ ἀταλαιπώρως, ὑπὲρ ἑνὸς τῆ τοῖς ἑαυτῶν συντίθεσθαι δόγμασι, καὶ βίον ὑπαρὸν ἐνδιδόναι ὑπὲρ τῆ δόγμα σρεβλὸν κερδῆσαι ὥσπερ ἄν εἴτινες ἀλλήλοις ἀντιδιδοῖεν, ὁ μὲν, κοπρίαν, ὁ δὲ, βόρβορον

βορον ἄξιοίτε τῶν τοιάτων ἐκεῖνοι θησαυρισμάτων τῆς πραγματείας, ἐν ᾗ καὶ τὸ ἐμπόρευμα ῥυπαρὸν, ϗ τὸ ἀντάλλαγμα βδελυρόν. ὑπὸ τάτων ἦν ὁ Σφεντόπλικος διαφθαρεὶς τῶν πάντα χαριζομένων αὐτῷ, τοῖς Μεθοδίᾳ λόγοις ἐλάχισα προσεῖχε τὸν νᾶν· τὐναντίον μὲν οὖν ϗ ὡς ἐχθρῷ προσεφέρετο. βδέλυγμα γὰρ φησιν ἁμαρτωλῷ θεοσέβεια. καὶ τίμεν ἁκ ἔλεγεν ἱλαρὸν, τί δε ἁκ ἠπείλει φοβερὸν ὁ μέγας τῷ ἄρχοντι; τοῦτο μὲν ἀπὸ τῶν θείων γραφῶν, τὴν τᾶ δόγματος εἰσάγων ὀρθότητα, καὶ ταύταις προσέχειν ὡς τὴν ζωὴν προξενάσαις καὶ πηγαῖς ὄσαις τᾶ σωτηρίου, διαταττόμενος. ὅ,τε γὰρ κύριος, ἐν τῇ ἐρεύνῃ τῶν γραφῶν, τὴν ζωὴν κεῖσθαι ἐδίδαξεν. Ἡσαΐας τε ἀντλεῖν ἡμῖν ὕδωρ ἁκ ἐκ τᾶ τῶν αἱρέσεων βορβόρᾳ, ἀλλ' ἐκ τῶν πηγῶν τᾶ σωτηρίᾳ ἐντέλλεται, τᾶτο δὲ ϗ ἐκφοβῶν, ὡς εἰ τοῖς αἱρετικοῖς πρόσθηται, ϗ ἑαυτὸν διαφθερεῖ, ϗ πάντας τὰς ὑπ' αὐτὸν, τοῖς ἐχθροῖς γινόμενος εὐεπιχείρητος καὶ εὐχείρωτος. δυσέβεια γὰρ κᾆν πρὸς ὀλίγον ἀνθῇ, ἀλλὰ τῷ χρόνῳ περὶ αὐτὴν καταῤῥεῖ, ἵνα μὴ κακίαν εὐσεβεῖς μάθωσι. ϗ ταῦτα ἔλεγε μετὰ τὴν αὐτᾶ τελευτὴν τῷ ἄρχοντι προσγενήσεται. ἅπερ οὖν ϗ κατὰ τὰς τᾶ ἁγίᾳ προῤῥήσεις γέγονε. καὶ γὰρ ἕως μὲν Μεθόδιος τοῖς ζῶσιν ἐξεταζόμενος ἦν, ὅτε ὁ ἄρχων τὴν ὠδῖνα τῆς καρδίας ἐξέῤῥηξεν, ἀλλ' εἶχεν τὸν βασιλίσκον τοῖς ὠοῖς τῶν ἀσπίδων ἐγκρυπτόμενόν τε καὶ ἐντρεφόμενον, ὅτε ἡ δίκη τὴν οἰκείαν ἐπήγαγε μάσιγα. ἀλλ' εἶχε μὲν ἐντεταμμένον τὸ τόξον, ϗ τὴν ῥομφαίαν ἐσίλβα, οὔπω δὲ βέλος ἀπέσελλεν· ἐν καρδίᾳ τᾶ ἐχθρᾶ, ὐδὲ τὴν χεῖρα τῇ πληγῇ ἐπεσήριζεν. ἐπεὶ δὲ ὅτε ὁ Ἅγιος ἀπῆν, καὶ ἡ κακία πᾶσα παρῆν, ὐχ' ὑπὸ παραπετάσματι, καὶ προσωπείῳ τὴν ἀχημοσύνην καλύπτωσα, ἀλλὰ κατὰ τὴν τῆς πόρνης ὄψιν ἀναισχυντήσασα, ϗ διωγμὸν κατὰ τῶν ὀρθο-

ὀρθοδόξων ἐγείρασα, τότε δὴ καὶ Θεὸς τὸν ἄρχοντα ποινηλατῶν ὐκ ἐνέλειψεν. ἀλλὰ ταῦτα μὲν ὕστερον. τότε δὲ Μεθόδιος τῷ ἄρχοντι προεῖπε τὴν οἰκείαν τελευτὴν, μετὰ τρεῖς ἐσομένην ἡμέρας, τῶν συχνῶν παραινέσεων τὴν πρόῤῥησιν ταύτην, βεβαίωσιν ὡς ἐγὼ κρίνω, ποιήμενος. εἰ γὰρ ἡ πρόῤῥησις. προφήτην αὐτὸν ἐποίει εἰς ἔργον ἐκβᾶσα, καὶ τῶν μελλόντων τὴν προοψίαν λαχόντα τῷ Πνεύματι, πρόδηλον ὡς ϗ τὸ παρὰ τάτε συνεργάμενον δόγμα πνευματικὸν ϗ θεόπνευστον. ϗ τὰς ὁμιλητὰς αὐτᾶ συγκαλέσας, μιμεῖται Παῦλον, μᾶλλον δὲ τὸν ἐμὸν Ἰησᾶν, καὶ τοῖς ἐξιτηρίοις αὐτὰς παρακαλεῖ καὶ ϛηρίζει ῥήμασι, καλὸν γε κλῆρον τοῖς παισὶν ἐκεῖνος διατυπάμενος, ϗ τῶν καμάτων ἐπάξιον ὧν ἠνέχετο, ἵνα τὴν τοιαύτην περιουσίαν ἑαυτῷ κτήσηται. τίς ὁ κλῆρος τάχα ποθεῖτε μαθεῖν; τὰ τᾶ Θεᾶ λόγια, τὰ ἐπιθυμητὰ ὑπὲρ χρυσίον καὶ λίθον τίμιον πολύν, ϗ ἡ σοφία, ἣν κρεῖττον ἐμπερεύσθαι, ἢ χρυσίᾳ ϗ ἀργυρίᾳ θησαυρᾷ. οἶδατε γάρ φησιν ὦ σπλάγχνα ἐμὰ τὴν τῶν αἱρετικῶν ἐν κακίᾳ δύναμιν, καὶ ὅπως δολοῦντες τὸν λόγον τᾶ Θεοῦ πάντα τρόπον, τὰς πλησίον ἀνατροπὴν θολερὰν ποτίζειν σπεύδάζουσι, δύο ταῦτα προσλαμβανόμενοι καὶ προσάγοντες, πιθανότητά τε καὶ αὐςηρότητα, τὴν μὲν, τοῖς ἁπλουςέροις, τὴν δὲ, τοῖς δειλοτέροις, ἀλλ' ὑμῖν ἀμφοτέρωθεν καλῶς ἔχειν τὰς ψυχὰς ἐλπίζω καὶ εὔχομαι. οὔτε γὰρ πιθανότητι λόγων παρασυρήσεσθε, ϗ διὰ τῆς κενῆς ἀπάτης συλαγωγηθήσεσθε. τεθεμελίωσθε γὰρ ἐπὶ τὴν τῆς ἀποσολικῆς ὁμολογίας ϗ διδασκαλίας πέτραν, ἐφ' ἣν τῆς ἐκκλησίας ᾠκοδομημένης, πύλαι ᾅδε ὐ κατισχύσωσι. πιςὸς γάρ ἐςιν ὁ ἐπαγγειλάμενος, ὅτε φοβερῷ τινὶ τοὺς τῶν καρδιῶν πύργους διασειθήσεσθε. ἐμάθετε γὰρ, μὴ φοβεῖσθε ἀπὸ ὕψους ἡμέρας, μὴδὲ ἀπὸ τῶν ἀποκτεινόντων

τὸ

τὸ σῶμα τὴν δὲ ψυχὴν μὴ δυναμένων κακῶσαι. μᾶλλον μὲν οὖν τὰς ἄλλας ἐπισηρίζεσθε φυλάττειν τὴν παρακαταθήκην, ἣν παρὰ τῶν Ἀποστόλων καὶ τῶν κατὰ καιροὺς Πατέρων ἐλάβομεν, ἣν ἀπαιτήσουσιν ἡμῖν ἐν ἡμέρᾳ ἀνταποδόσεως. ἰδὲ προεῖπον ὑμῖν, καὶ ἁμαρτίας ἐνόχους διὰ τοῦ προειπεῖν ἐποίησα. εἰμὴ γὰρ ἦλθον φησὶ καὶ ἐλάλησα αὐτοῖς, ἁμαρτίαν οὐκ εἶχον. ἀθῷος εἰμὶ ἐκ τοῦ αἵματος ὑμῶν. οὐ γὰρ ὑπεσειλάμην τοῦ λαλῆσαι ὑμῖν, ἀλλὰ τῷ τοῦ σκοποῦ ἔργῳ κατὰ τὸν Ἰεζεκιὴλ ἐπηγρύπνησα, βλέπετε πῶς ἀκριβῶς περιπατεῖτε, μὴ ὡς ἄσοφοι, ἀλλ' ὡς σοφοί. καὶ πάσῃ φυλακῇ τὰς ὑμῶν τε αὐτῶν καὶ τὰς τῶν ἀδελφῶν καρδίας τηρήσατε. ἐν μέσῳ γὰρ παγίδων διαβήσεσθε, καὶ ἐπὶ ἐπάλξεων πόλεων περιπατήσετε. καὶ γὰρ μετὰ τὴν ἐμὴν τελευτὴν εἰσελεύσονται λύκοι βαρεῖς μεθ' ὑμῶν, μὴ φειδόμενοι τοῦ ποιμνίου τοῦ ἀποσπῶν τὸν λαὸν ὀπίσω αὐτῶν, οἷς ἀντίσχητε σφοδρῶς τῇ πίστει. ὁ Παῦλος ὑμῖν ταῦτα δι' ἐμοῦ διατίθεται. ὁδὲ ἐπὶ πάντα Θεὸς καὶ Πατὴρ, καὶ ὁ ἐξ αὐτοῦ πρὸ αἰώνων γεννηθεὶς ἀπαθῶς Υἱὸς, καὶ τὸ Πνεῦμα τὸ ἅγιον τὸ ἐκ τοῦ Πατρὸς ἐκπορευόμενον, ὁδηγήσει ὑμᾶς εἰς πᾶσαν τὴν ἀλήθειαν, καὶ ἀμέμπτως παραστήσει εἰς καύχημα ἐμὸν, εἰς ἡμέραν Χριστοῦ. ταῦτα καὶ πλείω τούτων εἰπὼν, τὸ πνεῦμα τοῖς δορυφορήσασιν αὐτὸν ἀγγέλοις, καὶ ἐν πάσαις ταῖς ὁδοῖς φυλάξασιν, ἄγειν δέδωκε. τέταρτον μὲν πρὸς τῷ εἰκοστῷ ἔτος τῇ ἀρχιερωσύνῃ ἐμπρέψας, πολλῷ δὲ μόχθῳ καὶ κόπῳ ὑπὲρ τὴν ἑαυτοῦ μόνον, ἀλλὰ καὶ τὴν τῶν ἄλλων σωτηρίαν κατεργασάμενος· οὐ γὰρ ἐσκόπει τὸ ἑαυτοῦ, ἀλλὰ τὸ τῶν πολλῶν, ἵνα σωθῶσι. καὶ νυκτὸς καὶ ἡμέρας τοῦτο ζῶν μόνον, ὃ τοὺς ἄλλους ὠφέλει. δηλοῖ δὲ καὶ τὸ πλῆθος τῶν τε πρεσβυτέρων, καὶ διακόνων, καὶ ὑποδιακόνων, οὓς τελευτῶν, διακοσίας τῇ ἐνορίᾳ τῆς οἰκείας ἐκκλησίας ἐγκατέλιπεν. εἰ γὰρ οἱ τοῦ βήματος μόνοι, τοσοῦτοι, πόσον εἶναι τῶν λαϊκῶν τὸ πλῆθος εἰκάσωμεν. ἐφέρετο δὲ ἄρα τούτων τὴν πρώτην Γοράσδος, ὃν καὶ προφθάσας ὁ λόγος, ἐν τοῖς μάλιστα τῶν Μεθοδίου ὁμιλητῶν ἀπηρίθμησεν, ὃς καὶ ἀρχιεπίσκοπος Μοράβων παρ' αὐτοῦ τὰ ἁγίου τὰ τελευταῖα γνόντος ἀνακεκήρυκτο. ἀλλὰ γὰρ ἐκ ἤνεγκεν ἡ πάντολμος πληθὺς τῶν αἱρετικῶν, τὸν Μεθόδιον ἔχειν καὶ μετὰ θάνατον ζῶντα ἀντίμαχον, δεῦτε εἰπόντες Γοράσδον καταδυναστεύσωμέντε καὶ ἐνεδρεύσωμεν· ἀνόμοιός γάρ ἐστιν ἡμῖν ὁ βίος αὐτοῦ, καὶ παρηλλαγμέναι αἱ τρίβοι αὐτοῦ, καὶ ὀνειδίζει ἡμῖν ἁμαρτήματα. καὶ εἰ ζῇν ἔτος ἐαθείη, ἀναβιώῃ ἂν ἡμῖν ὁ Μεθόδιος, τοῦτον μὲν τῆς ἐπισκοπικῆς ἀρχῆς παραλύσιν, Βιχγῖκον δέ τινα τοῦ τῆς αἱρέσεως ἀκράτου μεθυσθέντα, καὶ τοὺς ἄλλους μεθύσκειν δυνάμενον, καὶ μέντοι διὰ τοῦτο παρὰ τοῦ Μεθοδίου τῷ τοῦ ἀναθέματος Σατανᾷ παραδοθέντα μετὰ τοῦ διάσου τῶν σὺν αὐτῷ μαινομένων, τοῦτον, ὦ πόνοι καὶ ἀγῶνες τοῦ Μεθοδίου, καὶ Τριὰς συγχεομένη τὰς ἰδιότητας! ἐπὶ τὸν θρόνον ἀνάγουσι, μᾶλλον δὲ τὸν θρόνον διὰ τοῦτον κατάγουσιν, καὶ ὅσον διὰ Μεθόδιον ἔνδοξος ἦν, καὶ τῶν πολλῶν προφαινόμενος, τοσοῦτον διὰ Βιχγῖκον τῇ τῆς ἀδοξίας κοιλάδι ἐπικλινόμενος. ἀλλ' ὅμως, ὅτω τῆς ἐπισκοπῆς παρανόμως καὶ μηδὲν αὐτῷ προσῆκον ἐδράξατο, ἑαυτῷ λαβὼν τὴν τιμὴν καὶ ἁρπαγμὸν ἡγησάμενος, τὸν δὲ ἀπὸ Θεοῦ κληθέντα, τυραννίδι βραχίονος ἁμαρτωλοῦ παραγκωνισάμενος. κεφαλὴν δὲ ἡ αἵρεσις αἴρει, καὶ κατὰ τῆς ὀρθοδοξούσης πληθύος τῶν Μεθοδίου μαθητῶν γαυριᾷ. καὶ δὴ θορυβήσαντες, καὶ τοῖς πιστοῖς ἐπαναστάντες, διατί φασιν ἔτι τοῖς Μεθοδίου λόγοις τοῖς ὀδωδόσι, καὶ νεκροῖς εὐνάζεσθαι προσδιάκεισθε, ἀλλὰ μὴ τῷ ζῶντι ἀρχιεπισκόπῳ συνίσασθε, καὶ ὁμολογεῖτε ἐκ Πατρὸς Υἱὸν γεννηθέντα, ἐξ

Υἱοῦ τὸ Πνεῦμα ἐκπορευόμενον. οἱδὲ διὰ Γοράσδε καὶ Κλήμεντος ἔφασαν, ὅτι μὲν Μεθόδιος ἔτι ζῇ, τῷ κυρίου, πάντως ἐμάθομεν, ποτέ μεν, τὸν εἰς αὐτὸν πιςεύσαντα, κἂν ἀποθάνῃ ζήσεσθαι φάσκοντος, ποτὲ δὲ διδάσκοντος τὸν Θεὸν τῷ Ἀβραὰμ, καὶ Ἰσαὰκ, καὶ Ἰακὼβ ὡς ζῶσιν, ἀλλ' ἀ νεκροῖς ἐπιλέγεσθαι. τί γοῦν ἁμαρτάνομεν εἰ τὸν ἐν Θεῷ ζῶντα, διδάσκαλον ἔχομεν πνευματικῶς ἡμῖν συνόντα, καὶ συλαλοῦντα, καὶ καθ' ὑμῶν συνεπιῤῥωνύοντα. τὴν δὲ καινὴν ταύτην πίςιν ὑμῶν οὔτε ὑπὸ γραφῆς μαρτυρμένην οἱασοῦν εὑρόντες, ἔθ' ὑπὸ πατέρων ἁγίων συντεθειμένην, ὀκνοῦμεν ὑποβαλεῖν ἑαυτὸς ἀναθέματι, τοῦ Παύλε διαῤῥήδην βοῶντος, εἴτις ὑμᾶς εὐαγγελίζεται παρ' ὃ παρελάβετε, ἀνάθεμα ἔςω. ἡμεῖς γὰρ Πνεῦμα μὲν Υἱοῦ, ἐπεὶ καὶ Πνεῦμα ζωῆς καὶ ἀληθείας, ἃ ὁ Υἱὸς, καὶ νῦν Χριςὸς, τὸ Πνεῦμα πιςεύομεν. ἐξ Υἱοῦ δὲ τοῦτο προερχόμενον, ἤτε μεμαθήκαμεν, ἤτε μαθησόμεθα, ἤτε τὴν πίςιν ἀρνησόμεθα, καὶ χείρονες ἀπίςων ἐσόμεθα. ἢ μὰ τὸν ἁγιασμὸν τῆς τοῦ ἁγίε Πνεύματος χάριτος. ἀλλ' ἐκ Πατρὸς μὲν προϊέναι τὸ Πνεῦμα, καὶ εἶναι τάτε αἴτιον καὶ προβολέα, τὸν τοῦ Υἱοῦ γεννήτορα πεπιςεύκαμεν. εἶναι δὲ καὶ τοῦ Υἱοῦ οἰκεῖον, καὶ δι' αὐτοῦ χορηγεῖσθαι τοῖς ἀξίοις ἑκάςοτε. ἕτερον δὲ τὸ ἐκπορεύεσθαι, καὶ ἕτερον τὸ χορηγεῖσθαι. τὸ μὲν, γὰρ τῷ πῶς εἶναι τὸ Πνεῦμα ἐκφάντορικόν. ὡς γὰρ ὁ Υἱὸς ἐςὶν ἐκ τοῦ Πατρὸς γεννητὸς, ὅτω καὶ τὸ Πνεῦμα ἐκπορευτόν. τὸ δέ χορηγεῖσθαι, ἀτὸ πῶς εἶναι δηλοῖ, ἀλλὰ πλετισμὸν ἐνδείκνυται καὶ διάδοσιν. καὶ ἵνα παραδείγματί τινι τὸν λόγον, ὡς ἐγχωρεῖ φωτίσωμεν. ἐννόησόν μοι βασιλέα τινὰ πλοῦτον μάλα πολὺν ἐκ τῶν οἰκείων θησαυρῶν προβαλλόμενον. τοῦτον δὲ τὸν Υἱὸν παραλαβόντα, οἰκείοντε αὐτῷ ἔχειν, καὶ διανέμειν τοῖς εὐαρεςοῦσιν αὐτῷ. βασιλεὺς ὁ Πατὴρ, πλοῦτος

ὡς

ὡς ἐν εἰκόνι φαῦναι τὸ Πνεῦμα, ἐκ τῶν τοῦ Πατρὸς ἀῤῥήτων θησαυρῶν προβληθὲν, Υἱὸς βασιλέως ὁ τοῦ Πατρὸς Υἱὸς, ᾧ τὸ Πνεῦμα, καὶ δι' ὃ χορηγεῖται. ὁρᾶτε τὸ Πνεῦμα πῶς ἡμεῖς οἴδαμεν, ἀ προερχόμενον, δι' Υἱοῦ δὲ χορηγούμενον; εἰ δὲ τὸ ἐμφυσῆσαι τὸν Υἱὸν τοῖς ἀποςόλοις καὶ εἰπεῖν, λάβετε Πνεῦμα ἅγιον, τοῦτό σε ταράττει, παχέως τοῖς εὐαγγελίοις ὡμίλησας. χάρισμα γὰρ τοῖς ἀποςόλοις ἐν τῶν τοῦ Πνεύματος δέδωκε τὸ τῆς ἀφέσεως τῶν ἁμαρτιῶν, ὡς δηλοῖ τοῖς ἑξῆς. πνεύματα δὲ, τὰς ἐνεργείας τοῦ Πνεύματος, καὶ τῷ Ἡσαΐᾳ φίλον καλεῖν. ἀλλ' ἀπ αὐτὸ τὸ Πνεῦμα τηνικαῦτα τοῖς Μαθηταῖς ἐχαρίσατο. δῆλον δὲ, ᾧ γὰρ εἰ τότε τὸ Πνεῦμα δέδωκεν, ἡ περιττὴ λοιπὸν ἡ ἐν τῇ πεντηκοςῇ τότε κάθοδος, ἢ ἄλλε πνεύματος, εἰμὴ περιττή. ποῖον οὖν τοῦτο; ὡς εἶχεν ἡ ἐκκλησία, ἓν Ἅγιον πρεσβεύσα φαίνεται. εἰ δὲ δύο εἶεν, ὁποτερονοῦν τότων ἀχ' Ἅγιον. εἰ τοίνυν τὸ Ἅγιον διὰ τοῦ ἐμφυσήματος, ᾧ ὁ κύριος δέδωκεν αὐτὸ ἐκεῖνο, ἀλλ' ἀχ' ἓν πνευματικὸν χάρισμα, τὸ κατελθὸν ἐν τῇ πεντηκοςῇ δῆλον ὡς ἀχ' Ἅγιον, ἀλλ' εἰς κεφαλὰς ὑμῶν τὸ βλάσφημον τράποιτο. δύο δὲ ποιοῦντες ὑμεῖς ἀρχὰς, τοῦ μὲν Υἱοῦ τὸν Πατέρα, τοῦ δὲ Πνεύματος τὸν Υἱὸν, ἄλλην τινὰ μανίαν μανιχαϊκὴν μαίνεσθε. ἡμῖν δὲ, εἷς μὲν Θεὸς, μία δὲ τῶν ἐξ αὐτοῦ ἀρχὴ, ὁ Πατήρ. τοῦ μὲν Υἱοῦ, Πατήρ· τοῦ δὲ Πνεύματος, Προβολεύς. ὥςπερ οὖν καὶ εἷς ἥλιος, ἀρχὴ τῆς τε ἀκτῖνος καὶ τῆς λάμψεως εἴτε θάλψεως. τῇ τοίνυν ἀκτῖνι καὶ ἡ λάμψις συνέςη εἴτε θάλψις, ὥς περ καὶ τῷ Υἱῷ τὸ Πνεῦμα. καὶ τῆς ἀκτῖνος ἡ λάμψις ἐςὶν, ὥςπερ τὸ Πνεῦμα τοῦ Υἱοῦ. ἄμφω μέντοι ἐκ μιᾶς ἀρχῆς τοῦ ἡλίε. καὶ ὥςπερ ἐν τῷ ὑποδείγματι διὰ τῆς ἀκτῖνος ἡ λάμψις ἤτοι θάλψις τῷ σωματικῷ κόσμῳ δίδοται, ὅτω διὰ τοῦ Υἱοῦ χορηγεῖται τῇ νοητῇ κτίσει τὸ

Πνεῦ-

Πνεῦμα τὸ ἅγιον ἐπὶ πᾶσιν. εἰ μὲν ὡς Μανιχαῖοι τὸ κατὰ Θωμᾶν εὐαγγέλιον, ἔτως ὑμεῖς ἄλλότε προενεγκεῖν ἔχετε τὴν τοιαύτην περὶ τῦ Πνεύματος διδασκαλίαν εἰσηγησάμενον, δείξατε τῦτο κεκανονισμένον καὶ σιωπήσωμεν. εἰδὲ τέσσαρσι μὲν ἀρχαῖς ὁ τῆς ἐκκλησίας παράδεισος ἐκ μιᾶς πηγῆς χεομέναις ποτίζεται, Ματθαίῳ, Μάρκῳ, Λεκᾷ, καὶ Γωάννῃ, οἶμαι συνήκατε. ὁδὲ πέμπτον εἰσάγων εὐαγγέλιον τρισκατάρατος. Γωάννης δὲ ἡμῖν τὸν Υἱὸν παρεισάγει λέγοντα· τὸ Πνεῦμα τῆς ἀληθείας, ὃ παρὰ τῦ Πατρὸς ἐκπορεύεται, παύσασθε καθ' ἑαυτῶν πηγνῦντες τὸ ξίφος ἐνσατικώτερον. παύσασθε τῷ Υἱῷ τῦ Θεῦ τῷ μεγάλῳ εὐαγγελισῇ, καὶ ἐξ ἧ, καὶ δι' οὗ, καὶ εἰς ὃν εὐαγγέλιον πᾶν, μαχόμενοι. καὶ χωρὶς τῦ Πνεύματος περὶ τῦ Πνεύματος δογματίζοντες, μᾶλλον δὲ τῷ ἐναντίῳ ὑποφθεγγόμενοι πνεύματι. ἐπὶ τύτοις ἐκ ἐνεγκόντες οἱ τῦ Βιγκίκα σασιῶται, τὰ ὦτα συρχόντες, καθάπερ οἱ Στέφανον πάλαι λιθοβολῦντες τὸν τῦ Λόγου γενναῖον μάρτυρα, καὶ τῦτο μόνον καλῶς ποιοῦντες ὡς ἐκ ἄξιοι τύτων ἀκύειν, θορυβεῖν καὶ πάντα συγχεῖν ἐπεβάλλοντο, καὶ μικροῦ μὲν καὶ εἰς χεῖρας ἦλθον τοῖς ὀρθοδόξοις, τῇ γλώττῃ καταπονηθείσῃ τὴν χεῖρα διδόντες σύμμαχον. τέλος δ' οὖν ἀποπηδήσαντες, ἐπὶ τὴν τελευταίαν ἦλθον καταφυγὴν αὐτῶν, τὸν κονιορτὸν Σφεντόπλικον. καὶ διαβάλλουσι μὲν τὰς ὀρθοδόξους ὡς νεώτερα φρονοῦντας, καὶ κατὰ τῆς ἀρχῆς αὐτῶν κινηθησομένας ἂν, εἰμὴ περὶ τὸ δόγμα τῷ ἄρχοντι συμφωνήσαιεν. τὸ γὰρ ἀντίδοξον, καὶ ἀντίμαχον. ὁδὲ, τὰς τῦ Μεθοδίκ προσκαλεσάμενος, τί φησι τῦτο τὸ σχίσμα ἐν ὑμῖν πολιτεύεται; καὶ καθ' ἑκάστην ἀλλήλοις πολεμίως συμπλέκεσθε; ἐκ ἀδελφοὶ πάντες ἐσέ; ἀδελφὰ ἓν φρονεῖτε ἀλλήλοις, καὶ τὴν ἕνωσιν ἐπισπεύδετε. οἱ δὲ, ὅσα σόματι Γο-

Γαράσδῳ καὶ Κλήμεντι χρώμενοι (ἦτοι γὰρ ἦσαν οἱ τῦ λόγκ ἡγύμενοι) ἔδει μὲν περὶ τύτων ἔφασαν ὧν ἄρχων, μακρὰς ἡμᾶς ποιεῖσθαι τὰς λόγκς. ἃ γὰρ περὶ ἐλαχίστων καὶ περὶ τὰ ἐλάχιστα ἡμῖν ὁ κίνδυνος ἵσταται, ἀλλὰ περὶ δόγματος μὲν ἐκκλησιαστικῦ, τῦ περὶ τῆς μακαρίας Τριάδος. περὶ δὲ ψυχὴν, τὸ πάντων ἡμῖν οἰκειότατον. ἐπεὶ δέσοι τὸ τῶν γραφῶν ἀνομίλητον μακροτέρων λόγων ἢ βαθυτέρων ἀκύειν ἀδίδωσιν, ἁπλῦς ἡμῖν ὁ πρὸς τὴν σὴν ἐρώτησιν λόγος. ὅτι σχιζόμεθα μὲν, ἐπειδὴ καὶ ὁ κύριος μάχαιραν ἦλθε βαλεῖν καὶ διχάσαι τὸ κρεῖττον ἀπὸ τῦ χείρονος· καὶ τῦ δαβὶδ ἀκόομεν, μισοῦντος τὰς μισοῦντας τὸν κύριον· λίαν δὲ τιμῶντος τὰς φίλκς Χριςῦ. χριςιανὰς δὲ, ἐκ ἄνποτε ἡμεῖς θείημεν τὰς μὴ παραδεχομένκς τὸ εὐαγγέλιον. ἐκεῖ γὰρ τῦ ἑνὸς τῆς Τριάδος Υἱῦ τῦ Θεῦ εἰπόντος, τὸ Πνεῦμα τῆς ἀληθείας, ὃ παρὰ τῦ Πατρὸς ἐκπορεύεται. οὗτοι φασὶν ἐκ τῦ Υἱῦ ἐκπεπορεῦσθαι τὸ Πνεῦμα. καίτοι πάντως εἰ τῦ τ' ἦν, τί τὸ κωλύον τὸν κύριον εἰπεῖν τὸ Πνεῦμα τῆς ἀληθείας, ὃ παρ' ἐμῦ ἐκπορεύεται; ἓν μὲν ἓν τῦτο. τὸ δεύτερον δὲ, ἡ ἐν Κωνσαντινοπόλει δευτέρα τῶν ἐκ πάσης τῆς οἰκκμένης ἀθροισθέντων ἀρχιερέων σύνοδος, περὶ τῦ ἁγίκ Πνεύματος ἀπεφήνατο. ἐπεὶ καὶ τύτκ χάριν συνήθροισο ἐπὶ καθαιρέσει τῦ πνευματομάχκ Μακεδονίκ. ἐξέθετό τε πίσεως σύμβολον ἐκ ἐπ' ἀνατροπῇ, τῦ ὑπὸ τῆς ἐν νικαίᾳ συνόδκ τεθεσπισμένκ, ἀλλ' ὅπερ ἐκείνη ἐνέλιπεν, οἷα δὴ μὴ κινηθέντων τότε τῶν περὶ τῦ Πνεύματος ζητημάτων, τῦτο αὖτη ἀναπληρῦσα καὶ σώζκσα τὸ τῆς μητρὸς ἡθυγάτηρ ὑσέρημα. ἴδωμεν ἓν ἐν τύτῳ τῷ συμβόλῳ ὃ καθ' ἑκάστην ἐπ' ἐκκλησίας ἐκφωνεῖς ὧ ἄρχων, καὶ σὺ ἐκ τῶν γραικῶν βιβλίων μεταλημφθὲν, πότερον πιςεύειν εἰς πνεῦμα τὸ ἐκ τῦ ὑῦ ἐκπορευόμενον, ἢ τὸ ἐκ τῦ Πατρὸς ὁμολογύμενον; πῶς τοίνυν

συμ-

συμφωνήσωμεν τοῖς παρὰ τὸ εὐαγγέλιον φρονῆσι, καὶ τὴν μετὰ τῦ Πνεύματος τῶν πατέρων ἔκθεσιν, τοῖς ἀπὸ γῆς φωνῆσι κατὰ τὰς ἐγγαστριμύθυς. τίς κοινωνία φωτὶ πρὸς σκότος; φησὶν ὁ θεῖος ἀπόστολος. εἰμὲν ἂν μεταβάλωνται τὰς γνώμας καὶ μετὰ τῦ εὐαγγελίυ καὶ τῶν πατέρων σήσονται, ὡς ἀδελφοῖς προσδραμῦμεν, καὶ περιπλακησόμεθα, καὶ περιπτυξόμεθα. εἰδὲ τὸν ἕνα καθηγητὴν ἡμῶν τὸν Χριστὸν ἀποποιύμενοι ὀπίσω τῆς διανοίας αὐτῶν πορεύονται, καὶ ἐν τοῖς διαλογισμοῖς αὐτῶν ματαιοῦνται, σχολῇ γ' ἂν ἡμεῖς ὑπ' αὐτοῖς καθηγηταῖς τὸ περὶ τῆς Τριάδος δόγμα μαθεῖν δεξόμεθα. ταῦτα ἡ περὶ τὰς ὀρθοδόξυς πληθὺς, προηγόροις Γοράσδῳ καὶ Κλήμεντι χρώμενοι. ὁ δὲ ἄρχων μόλις μὲν συνῆκεν ὀλίγα τινὰ τῶν λεχθέντων. ἦν γὰρ παντάπασι γνῶναίτι τῶν θείων ἠλιθιώτατος. ἅμα μὲν ὡς ἀνηγμένος βαρβαρικώτερον καὶ συνόλως εἰπεῖν ἀλογώτερον. ἅμα δὲ καὶ τὸν νᾶν ὑπὸ τῆς μιαρᾶς ἡδονῆς, παρασεσυλημένος ὡς εἴρηται. πῶς γὰρ καὶ ἔμελλε τοῖς περὶ Τριάδος λόγοις ἐμβῆναι ἄνθρωπος, πάμπολυ τῦ τῆς σωφροσύνης ἀπέχων ἁγιασμῦ, ὃ χωρὶς οὐδεὶς τὸν κύριον ὄψεται; ὑπὸ δὲ τῶν αἱρετικῶν προβιβασθεὶς, ἦν γὰρ ὅλως αὐτοῖς προσκείμενος. τοιάνδε τοῖς ὀρθοδόξοις ἀπόφασιν δέδωκεν. ἐγὼ μὲν ἐμαυτῷ πολὺν τὸν ἰδιωτισμὸν σύνοιδα, καὶ ἁπλᾶς εἰμὶ τὰ δογματικά. καὶ τί γὰρ ἡ ἀγράμματος; τῦ μέν τοι χριστιανισμῦ μεταποιῦμαι τε καὶ μεταποιήσομαι. ἀμφιβολίας δὲ τοιαύτας οἵας ὑμεῖς ἀνεγείρετε, λύειν οὐχ ἱκανὸς ἐγὼ διὰ λόγων, οὐδὲ διακρίνειν ὀρθοδόξυ ψευδοδιδάσκαλον. ὡς οὖν χριστιανὸς δικάσω ὑμῖν· ἀμέλει καὶ περὶ τούτυ τῦ δόγματος ἀποφαίνομαι ὡς καὶ περὶ τῶν ἄλλων ἀποφαίνεσθαι εἴθισμαι. ὃς ἂν παριὼν πρῶτος ὀμόσειεν. ὡς καλῶς καὶ ὀρθοδόξως πιστεύει, τῦτον εἶναι τὸν κατὰ τὴν ἐμὴν κρίσιν μηδέν τι τῦ ἀκριβῦς περὶ τὴν πίστιν σφαλλόμενον,

νον, τούτῳ καὶ τὴν ἐκκλησίαν ἐπιδώσω, κατὰ τὸ εἰκὸς πρεσβυτέριον. οἱ τοίνυν φράγγοι, προθυμότατα περὶ τὸν ὅρκον διατεθέντες, ἀδὲ τὸ τέλος τῆς τῦ ἄρχοντος ἀναμείναντες ἀποφάσεως, ὤμοσαν καὶ ἔσησαν τὴν κακοδοξίαν αὐτῶν, ἀνοήτῳ κρίσει, πέρας ἐπιθέντες κατάλληλον. παρὰ τοιούτοις κριταῖς ἡ αἵρεσις κατὰ τῆς ὀρθοδοξίας ἐσεφανώσατο. καὶ πᾶσαν ἔσχεν ἐξουσίαν ἄγειν καὶ φέρειν τὰς χριστῦ γνησίας δούλας, καὶ τῆς πίστεως φύλακας. εἰ γάρτις φησὶ φωραθείη μὴ πιστεύων κατὰ τὴν τῶν φράγγων ἔκθεσιν, αὐτοῖς ἐκείνοις παραδοθήσεται χρησομένοις ὅ,τι καὶ βούλονται. τὰ ἐπὶ τούτοις, τίς ἂν ἐκδιηγήσαιτο λόγος, ὅσα κακία λαβομένη δυνάσειας εἰργάσατο. πῦρ ἀτεχνῶς ἐν ὕλῃ, πνεύματι ῥιπιζόμενον. οἱ μὲν, ἠνάγκαζον συνθέσθαι τῷ πονηρῷ δόγματι. οἱ δὲ τὴν τῶν πατέρων πίστιν ὑπελογίζοντο. οἱ μὲν, πάντα πράττειν, οἱ δὲ, πάντα πάσχειν παρεσκευάζοντο. τοὺς μὲν, ἀπανθρώπως ἠκίζοντο. τῶν δὲ, τὰς οἰκείας διήρπαζον, μιγνῦντες ἀσεβείᾳ, πλεονεξίαν. ἄλλους γυμνοὺς ἐπ' ἀκανθῶν ἔσυρον. καὶ ταῦτα γέροντας ἄνδρας καὶ τὰς δαβιτικὰς ὄρας τῆς ἡλικίας ὑπερπηδήσαντας. ὅσοι δὲ τῶν πρεσβυτέρων καὶ διακόνων ἦσαν νεώτεροι, τούτους δὴ τοῖς ἰουδαίοις ἐπώλων, οἱ τῆς ἰούδα μοίρας καὶ τῆς ἀγχόνης ἐπάξιοι. ὡς γὰρ ἐκεῖνος χριστὸν, ἵνα ἵτοι τὰς χριστῦ δούλας, μᾶλλον δὲ φίλους κατ' αὐτὸν ἐκεῖνον εἰπεῖν, θαῤῥήσας δὲ φήσαιμι καὶ χριστὰς, τοῖς ἀεὶ παραπικραίνουσιν ἀπεδίδοσαν. ἐκ ὀλίγοι δὲ πάντως ἦσαν, ἀλλ' εἰς διακοσίους ἀπαριθμούμενοι καθὰ δὴ προειρήκαμεν, οἱ τῦ βήματος. ὅσοι δὲ διδασκάλων ἐπεῖχον τάξιν, οἷος δὴ Γοράσδος ἐκεῖνος, οὗ πολλάκις ἐμνήσθημεν, ὃν ἐκ Μοράβου γενόμενον, καὶ ἄμφω τὰ γλώττα τήντε Σθλοβενικὴν ὄντα καὶ τὴν γραικικὴν ἱκανώτατον, ἡμὲν ἀρετὴ Μεθοδίου τῷ θρόνῳ δέδωκεν, ἡ δὲ τῶν αἱρετικῶν κακία τὸν θρόνον

τῆ

τῇ ϛερήσει τᾶ ἀνδρὸς, ἀπεκόσμησεν· ϗ μέντοι καὶ Κλήμης πρεσβύτερος ἀνὴρ λογιώτατος, ϗ Λαυρέντιος, ϗ Ναὰμ, καὶ Ἀγγελάριος, τότε δὴ καὶ ἄλλας πλείας ὀνομαϛὰς, σιδηροδέτας φυλακαῖς εἶχον ἐγκλείσαντες, ἐν αἷς πᾶσα παράκλησις ἀπηγόρευτο ἀ συγγενῶν, ἀγνωϛῶν θαῤῥούντων, ἀδοπωσᾶν ἡ προσέλευσις. ἀλλ' ὁ παρακαλῶν τὰς ταπεινὰς κύριος, ὁ τὰς συντετριμμένας τὴν καρδίαν ἰώμενος, ὁ διὰ τῶν παρακλήσεων εὐφραίνων ψυχὴν ἀντιμετρημένων τῷ πλήθει τῶν ὀδυνῶν, παρεκάλεσε τὰς ἁγίας ἐξαποϛείλας αὐτοῖς τὴν ἐξ ἁγίᾳ βοήθειαν. οἱ μὲν γὰρ ϗ τῷ σιδήρῳ τῆς ἀλύσεως βαρυνόμενοι, ἀδ' ὅτως ἠμέλων τῆς προσευχῆς, ἀλλὰ τὰς τῆς τρίτης ὥρας ᾠδὰς ὑπᾴσαντες, εἶτα ϗ τὸ τῶν ψαλμῶν ἐφύμνιον προσεπῇδον· δι' οὗ τὸ πανάγιον Πνεῦμα τὸ ἐν τῇ τρίτῃ ὥρᾳ τοῖς ἀποϛόλοις ἐπιπεμφθὲν, ἐγκαινισθῆναι ἡμῖν εὐχόμεθα. Θεὸς δὲ ἐπιβλέψας ἐπὶ τὴν γῆν, ἐποίησεν αὐτὴν τρέμειν, ϗ σεισμὸς μέγας ἐγένετο, ὥσπερ ἐν τοῖς δεσμοῖς ποτὲ Παύλᾳ προσευχομένᾳ, ϗ ὡς ἐξ ἀρανᾶ ἦχος, ϗ αἱ ἀλύσεις ἐξέπιπτον. ϗ οἱ τέως δέσμιοι, ἄνετοι, μόνῳ τῷ τᾶ χριϛᾶ πόθῳ ἀλύτῳ δεσμώμενοι. συνέσεισε μὲν οὖν τὴν γῆν ὁ Θεὸς καὶ συνετάραξεν. ἐσείσθησαν δ' ἄρα ϗ οἱ περὶ τὴν πόλιν ἐκείνην, καὶ τῷ γεγονότι διεταράχθησαν, ὥς τε θαυμάζειν ϗ διαπορεῖσθαι τίποτ' ἄρ' ἡ θεοσημεία βάλοιτο. ὡς δὲ πλησιάσειεν μὲν τῇ φυλακῇ, ἴδοιεν δὲ τὸ περὶ τὰς ἁγίας γενόμενον, ϗ ὡς τῶν ἀλύσεων ἐκπεσουσῶν, ἐν ἀνέσει πάσῃ διῆγον τὴν θείαν ἀκουτιαθέντες ὡς ὁ Δαβὶδ φησὶν ἀγαλλίασιν, δρομαῖοι προσελθόντες τῷ ἄρχοντι, τί τᾶτο φᾶναι, μέχρι τίνος πρὸς τὸ φῶς τῆς ἀληθείας ἀκ ἀναβλέπωμεν; ὦτα ἔχομεν ϗ ἀκ ἀκούομεν, οἷα τὰ παρὰ τῷ Δαβὶδ εἴδωλα; εἰβάλει δέμοι, οἱ παρὰ τῷ Ἡσαΐᾳ τὸ Πνεῦμα λαβόντες τῆς κατανύξεως; ἀ συνήσωμεν τὸ γενόμενον θαῦμα;

μα, ἀ τὴν θεοσημείαν δυσωπησόμεθα; ἀ δεσμῶται μᾶλλον ἡμεῖς τῆς πρὸς τὰς ἐκ τῶν δεσμῶν λυθέντας τιμῆς ἐσόμεθα; ἀλλ' ἡ τῶν αἱρετικῶν γλῶττα, τὸ θαῦμα διαβάλλειν πειρᾶται πάλιν. ὥσπερ ἡ τῶν φαρισαίων τὰ τότε παρὰ τᾶ κυρίᾳ τελούμενα. ϗ γοητεῖαι φασὶ ϗ μάγων τέχναι προφανεῖς ταῦτα τρόπον ἕτερον τὸν Βεελζεβούλ, τῇ καινότητι τᾶ ἔργᾳ ἐπιγραφόμενοι, οἱ τῆς ἐκείνᾳ ἐνεργείας κατάπλεω. εἶτα πάλιν, ἔδει γὰρ μὴ συνιέναι τὸν ἀσύνετον ἄρχοντα, ἀλύσεις τὰς ἁγίας εἶχον τῶν πρωτέρων βαρύτεραι. ϗ κακώσεις ἐν τῇ φυλακῇ μᾶλλον ἢ πρότερον ἀπαράκλητοι. τρεῖς παρῆλθον ἡμέραι. ϗ πάλιν τὴν τῆς τρίτης ὥρας τελούντων προσευχὴν, ταὐτὰ συμβαίνει τοῖς ἔμπροσθεν. σεισμός τε γὰρ μετ' ἤχᾳ ἐξ ἀρανᾶ, καὶ ἀλύσεις ἐκπίπτουσαι. ϗ πάλιν οἱ θεομάχοι, μηδὲν τῶν πραχθέντων τῷ ἄρχοντι ἐμφανίσαντες, ταῖς αὐταῖς κακώσεσι τὰς ἁγίας ὑπέβαλον. ὧν αὐτοὶ πάντως ἦσαν ἀληθείας ψηφιφορήσης, ἄξιοι. ἀλλ' ἀντιφιλοτιμεῖται Θεὸς ἑτέρωθεν. ἐντεῦθεν τὸ πρᾶγμα τῆς κακουχίας. ἐκεῖθεν τὸ δόγμα τῆς εὐθυμίας. ἡμερῶν γὰρ δέκα διαγενομένων, πάλιν ἐκ τρίτης ἀνατολῆς ἐξύψους οἱ ἀθληταὶ ἐπεσκέφθησαν, ϗ οἱ ἀπηλγηκότες αἱρετικοὶ τῆς αὐτῆς αὖθις ἦσαν πωρώσεως, ϗ τὸ διεϛραμμένον οὐ κατευθύνετο. ϗ οὐκ ἐπεκοσμεῖτο τὸ τῆς γνώμης αὐτῶν περὶ τὴν τᾶ καλᾶ γνῶσιν ὑϛέρημα. μᾶλλον μὲν ἂν ἐπὶ τὸ ἄλγος τῶν τραυμάτων τοῖς ἁγίοις προσέθηκαν. ὡς γὰρ πρὸς τὸ πράττειν τὰ κατὰ γνώμην αὐτῶν παρὰ τᾶ ἄρχοντος ἐδέξαντο τὸ ἐνδόσιμον, ἐξάγουσι μὲν τῆς φυλακῆς, αἰκίζονται δὲ ταῖς ἐξ ἀνθρώπων πληγαῖς, ὅ δὴ λέγεται. μήτε τῆς πολιᾶς, μήτε τῆς ἀθενείας, ἣν ἡ πολλὴ κάκωσις ἐπήγαγε τοῖς τῶν ἁγίων σώμασι, φειδῶ θέμενοι. ἀκ οἶδε δὲ ἄρα τότων ἀδὲν ὁ τοῖς αἱρετικοῖς ἐκεῖνος δαλεύων ἄρχων. ἔτυχε γὰρ

ἀπὼν,

ἀπὼν, ὡς εἶγε παρῆν, ἐκ ἂν τοιαῦτα τοῖς ὁμολογηταῖς
τῆς ἀληθείας ἐναπεδείξαντο. κἂν γὰρ μυριάκις τοῖς φράγ-
γοις προσετίθετο, τήνγε τῶν ἱερῶν ἀνδρῶν ἀρετὴν ἐδυ-
σωπεῖτο, ᾗ μάλιςα τῷ Θεῷ τὸ θαῦμα τρισσεύσαντος,
καίτοι ἡμιθηριώδης ἦν ᾗ ἀμείλικτος. μετὰ δὲ τὰς ἀπαν-
θρώπους ἐκείνας πληγὰς, μηδὲ τροφῆς μεταλαβεῖν τὰς
ἁγίας παραχωρήσαντες. ἀδὲ γὰρ εἴων ἐδένα τοῖς τῷ Χρι-
ςῷ δήλοις μᾶλλον δὲ Χριςοῖς προσρίπτειν ἀδὲ ἄρτε κλα-
σμάτιον, ἀλλὰ ςρατιώταις ἀπάγειν ἄλλον ἀλλαχῆ τῶν παρὰ
τῷ ἱερῷ μερῶν παρέδωκαν, τὴν ἐκ τῆς πόλεως ἀειφυγίαν
τῶν ἀρανοπολιτῶν καταψηφισάμενοι. παραλαβόντες ἓν
τὰς ἁγίας οἱ ςρατιῶται ἄνθρωποι βάρβαροι, νεμιτζοὶ γὰρ,
ᾗ φύσει μὲν τὸ ἀνήμερον ἔχοντες, προσλαβόντες δὲ τῶτο
ᾗ ἐπιτάγματι, ἐξάγεσι μὲν τῆς πόλεως, ἀποδύσαντες
δὲ γυμνὰς ἔσυρον. ᾗ δύο ταῦτα δι' ἑνὸς κατειργάζοντο. τὸ,
τε ἄχημον, ᾗ τὴν ἐκ τῷ ἀέρος ἀεὶ τοῖς παριςρίοις μέρεσι
παγετώδες ἐπικειμένε κάκωσιν. ἀλλὰ δὴ ᾗ τὰ ξίφη τοῖς
τραχήλοις ἐκείνων ἐπικατῆγον ὡς πλήξοντες· ᾗ τὰ δόρα-
τα τοῖς πλευροῖς ἐπέφερον ὡς βαπτίσοντες, ἵνα μὴ μόνον
ἕνα θάνατον θάνοιεν, ἀλλὰ τοσαυτάκις, ὁσάκις ἐλπίζεσι. ᾗ
τῶτο τοῖς ςρατιώταις παρὰ τῶν ἐχθρῶν ἐνταλθέν. ἐπεὶ δὲ
τῆς πόλεως ἀπεῖχον πολὺ, ἀφέντες αὐτὰς οἱ ἀπάγοντες,
τῆς ἐπὶ τὴν πόλιν αὖθις ὁδῷ εἴχοντο. οἱδὲ τῷ Χριςῷ ὁμο-
λογηταὶ μαθόντες τῷ κυρίῳ, τοῖς διωκομένοις ἐκ ταύτης
τῆς πόλεως, εἰς τὴν ἑτέραν φεύγειν κελεύοντος, Βελγα-
ρίαν ἐπόθεν, Βελγαρίαν περιενόεν, Βελγαρία τέτοις δῆ-
ναι ἄνεσιν ἐπηλπίζετο. ἐμὴν ἀλλὰ ᾗ ταύτην, εἰ μὴ τὴν
ὁδὸν διαπλέπτοιεν, ἀπεγίνωσκον. ὅθεν ᾗ πάντας ὀφθαλ-
μὸς λανθάνειν ἐσπούδαζον, βρωμάτων, ἐνδυμάτων ἀπορῦν-
τες. ἐκῶν ἠναγκάσθησαν διὰ τὸ δέος ἀπ' ἀλλήλων διαι-
ρεθῆναι. ᾗ δὴ ἄλλος ἀλλαχῆ διεσπάρησαν, Θεῷ τῶτο

δό-

δόξαν, ἵνα ᾗ πλείω μέρη τῷ κύκλῳ τῆ εὐαγγελίᾳ ἐμ-
περιλάβωσι. Κλήμης μέντοι Ναὲμ συμπαραλαβὼν καὶ
Α'γγελάριον, τὴν πρὸς τὸν ἱερὸν φέρσαν ὥδευον, καὶ
κώμη τινὶ ἀπαντῶσι παρακλήσεως ἀξιώσαντες τὰ πεπονη-
κότα ᾗ τροφῶν ἀπορίᾳ, ᾗ σκεπασμάτων τῆ σώματος.
ζητήσαντες δὲ, τίς ἐν τῇ κώμῃ φιλόθεος ᾗ φιλόξενος,
κἀπὶ βίᾳ σεμνότητι μαρτυρόμενος, ᾗ αὐτὸ δὴ τῶτο, τὸ
τῆ Χριςῆ, εἰρήνης ἰῶς· ἐπειδὴ τῶτον εὗρον, τῶτῳ ἐπε-
ξενώθησαν. τῷ δὲ, ἦν παῖς ᾗ μονογενὴς ᾗ καλὸς, ᾗ ἡ-
λικίας ἔχων ἀνθρῶς. ἅματε ἓν εἰσῆλθον εἰς τὴν οἰκίαν
οἱ ξένοι, ᾗ ὁ ἰῶς ἐξῆλθε τῆ βίε. ἐκεῖνος ὁπερικαλὴς,
ὁ μόνος ὀφθαλμὸς τῷ Πατρὶ, τὸ τῆ γένες ἔρνος τὸ εὐ-
θαλέςατον. τί παθεῖν οἴεσθε τὸν πατέρα, τίδε ἐκ εἰπεῖν
τοσῶτον πένθος ἐπὶ τῷ παδὶ τῶν ξένων ἐλεεινῶς δυςυχή-
σαντα; καλάγε ταῦτα τῆς φιλοξενίας μισθώματα; ἐπὶ
τῶτῳ τὴν θύραν ὑμῖν ἀνέῳξα, ἵνα μοι ὁ οἶκος ἀποκλει-
σθείη, τὸν κληρονόμον ἀποβαλών; ἐπὶ τῶτῳ δεξιὰν ὑμῖν
ἐνέβαλον, ἵνα τὴν μόνην ἐμοὶ δεξιὰν ἀποβάλωμαι; ὢ πικ-
ρᾶς ταύτης ἡμέρας ὅτε τῇ κώμῃ προσήλθετε. ὢ σκοτεινῆ
τῶτε φωτὸς, ὃ πρὸς τὴν ἐμὴν οἰκίαν ὑμᾶς ὡδήγησε. τά-
χα γάητες ὑμεῖς ᾗ τῷ μόνῳ Θεῷ ἐχθροὶ, ᾗ ταύτην ἔχω
παρ' ἐκείνε τὴν δίκην, ὅτι τὰς ἀπηχθημένας αὐτῷ, τῆς
ἐμῆς σέγης ἠξίωσα. πολλὰς μὲν ᾗ ἄλλας ἐδεξάμην εἰς
τὴν οἰκίαν ἐκ τῶν παρόντων καρποφορῶν Θεῷ, ᾗ εἰσάγων
τὸ κατὰ δύναμιν, ἀλλ' ἐπλήθυνέ μοι τὰ ἔνδον ὁ κύριος.
ἀχ' ὑπέρρεον, ἀλλ' ἐπέρρεον, ᾗ τὴν δαπάνην προσθήκην
εὕρισκον, ᾗ τὸ ἐπ' εὐλογίαις σπέρμα, θέρος εὐλογημέ-
νον, πεπληθυσμένον γεώργιον. νῦν δὲ.... ἀλλ' ὤμοι
φίλτατε παῖ, τὸ πάντων κτημάτων ἐμοὶ κάλλισόντε ᾗ
χαριέςατον, μᾶλλον δὲ ᾗ σπλάγχνων τῶν ἐμῶν φίλτε-
ρον ᾗ ζωῆς αὐτῆς ποθεινότερον, τῇ τῶν καταράτων τά-

των

των τότων ἐσφαγιάσθης εἰσόδῳ. τελχῖνες ἀτεχνῶς οὗτοι δαίμονες φόνιοι, θανάτοις παίδων ἐπιτερπόμενοι. ἀλλ' ἢ γὰρ ἐκφεύξεσθε τὴν δίκην κἂν τὰ πάντα μαγεύσητε, χερσὶ δὲ πατρὸς ἐμπεσόντες υἱὸν πενθοῦντος δι' ὑμᾶς, υἱὸν καλὸν καὶ μονογενῆ, πάντων ὧν εἰργάσασθε τὴν ἀξίαν νῦν ἀποτίσετε. καὶ δὴ δεσμὰ ἐπὶ τούτοις ἑκάλει καὶ κολαςήρια. οἱ δὲ, καὶ αὐτοὶ μὲν οὐχ ἥττον τοῦ πατρὸς ἔπαχον. καὶ τί γὰρ αἱ συμπαθεῖς ψυχαὶ καὶ φιλάνθρωποι, πλέον δὲ εἶχον καὶ τὸ αἰχύνεσθαι. τῇ δὲ πίςει θαρρήσαντες ἢ πάντα δυνατὰ κατὰ τὸν τοῦ κυρίου λόγον, καὶ τὰ ἀδύνατα, εἰς εὐχὴν μὲν τραπέσθαι διέγνωσαν, τοῦ δὲ πατρὸς τὸ φλεγμαῖνον τῆς ὀργῆς καταψῶντες ἠπίως, καὶ τὸ σκληρὸν τοῦ δικαίου θυμοῦ μαλάττοντες, ἡμεῖς ἔφασαν, ὦ τοῦ Θεοῦ ἄνθρωπε, οὔτε γόητες ἐσμέν, ἀλλὰ καὶ τοῖς ὅτως ἔχουσι πάντα τὰ χείριςα ἐπαρώμεθα. Θεῷ δὲ λατρεύομεν τῷ ἀληθινῷ, οὗ εἶναι καὶ πυλωροῖς ᾅδου φρικτὸν ἀνηκόαμέν τε καὶ πεπιςεύκαμεν, ὃς καὶ χειρὸς ἐπαφῇ καταπαλαίει τὸν θάνατον, καὶ φωνῇ μόνῃ τετραημέρῳ καὶ ὀδωδότι νεκρῷ τὴν ζωὴν ἐπιδίδωσιν. εἰ τοίνυν ἡμᾶς οἴει αἰτίους εἶναι θανάτου τῷ σῷ παιδὶ, θάρρει τὸ ἐφ' ἡμῖν. πεποίθαμεν γὰρ ὅτι δι' ἡμᾶς αὐτῷ τὴν ζωὴν χαρίσεται κύριος. καὶ δὴ τῷ παιδὶ ἐπευξάμενοι, ὦ καινοῦ θαύματος, ὦ τῆς ἀείλαμπάσης σε χάριτος σῶτερ Χριςὲ, τῷ πόθεντι πατρὶ τὸν υἱὸν ζῶντα παρέςησαν. τί τοίνυν ὁ πατὴρ; οἱ ἅγιοι, οἱ τοῦ Θεοῦ δοῦλοι, οἱ σωτῆρες τῆς ἐμῆς οἰκίας ἐκραύγαζεν, ἀδ' ἐν τῷ καθεςηκότι ὢν ὑπὸ τῆς χαρᾶς, ἀλλὰ παράβακχόντι καὶ ἐξεςηκὸς κεκραγὼς, σύγγνωτέ μοι, πατέρες ὅσιοι, σύγγνωτε, ἀγνόημα ἠγνόησα ἐφ' ὑμῖν, πάσης εὐθύνης ὑπέρτερον, ἀλλ' ἰδοὺ πάρεσιν ὑμῖν τὰ ἐμὰ, πάρειμι καὶ αὐτὸς ὑμῶν οἰκέτης ἐσόμενος, ἀπολαύσατε τῶν ἐμῶν, χρήσασθέμοι ὅ,τι καὶ βέλεσθε, μόνον ὁρῴην τὸν παῖδα, ὃν

ὑμεῖς

ὑμεῖς μοι νῦν ἐγεννήσατε· οἰδὲ, τὴν μὲν πίςιν τοῦ ἀνδρὸς προσηκάμενοι, πρὸς δὲ τὴν προκειμένην ὁδὸν κατασπεύδοντες, μόνοις ἐφοδίοις τὴν δεξίωσιν αὐτοῦ περιγράψαντες, τὴν πρὸς τὸν ἴςρον ἄγουσαν ὥδευον, σὺν πολλῇ παραπεμφθέντες τιμῇ, ὑπὸ τοῦ καταξιωθέντος ἐκείνου τοῦ θαύματος. ἐπεὶ δὲ κατὰ τὰς ὄχθας τοῦ ἴςρου γενόμενοι, ἑώρων τὸ ῥεῦμα πολὺ, καὶ διὰ τοῦτο καὶ ἄπορον, ξύλα τρία συνδήσαντες φιλύρας φλοιῷ τῇ ἄνωθεν δυνάμει φρυαγμένοι, τὸν ποταμὸν διεπέρασαν. καὶ κατακλυσμὸν αἱρέσεων φεύγοντες, ξύλοις κατὰ θείαν ἐπιφροσύνην ἐσώθησαν. καὶ τῇ Βελαγράδων (πόλις δὲ αὕτη τῶν περὶ ἴςρον ἐπισημοτάτη) προσελθόντες Βοριτακάνῳ τῷ τότε φυλάττοντι ταύτην ἐνεφανίσθησαν, καὶ πάντα τὰ περὶ αὐτῶν ἀπήγγειλαν μαθεῖν θέλοντι. ὡς δὲ ταῦτα μαθὼν ἐκεῖνος ἔννοιαν ἔλαβε τοῦ μεγάλους εἶναι τοὺς ἄνδρας καὶ Θεῷ πλησιάζοντας, δεῖν ἔγνω πρὸς τὸν ἄρχοντα Βουλγαρίας Βορίσην (ὅπερ αὐτὸς ὑποσράτηγος ἦν) ὑποσεῖλαι τοὺς ξένους. ἤδει γὰρ τὸν Βορίσην διψῶντα τοιούτων ἀνδρῶν. ἐκ μακροῦ ἀναπαύσας οὖν αὐτοὺς, εἶτα τῷ ἄρχοντι δῶρον πολύτιμον ἔπεμψε, δηλώσας αὐτῷ τοιούτους εἶναι τούτους, οἵους αὐτὸς ἐπόθει πόθῳ σφοδρῷ. ἐπεὶ δὲ τῷ Βορίσῃ προσῆλθον, ὑποδεχθέντες ἐντίμως, καὶ ὡς ἔδει τοὺς τὰ πάντα σεμνοὺς τε καὶ σεβασμίους, ἐπηρώτα τὸ κατ' αὐτούς. οἱδὲ, πάντα κατέλεγον ἀπ' ἀρχῆς ἄχρι τέλους μηδὲν ἐλλείποντες. ἀκούσας δὲ ταῦτα ὁ ἄρχων, μεγάλως ἠὐχαρίςησε τῷ Θεῷ τοιούτους αὐτοῦ θεράποντας τῇ Βουλγαρίᾳ εὐεργέτας ἐπαποσείλαντι, διδασκάλους τε καὶ καταρτιςὰς, δωρησαμένῳ τῆς πίςεως, οὐ τοὺς τυχόντας ἄνδρας, ἀλλ' ὁμολογητάς τε καὶ μάρτυρας. ςολάς τε οἰκείας ἱερεῦσι δοὺς, καὶ πάσῃ τιμῇ δεξιωσάμενος, οἰκήσεις αὐτοῖς ἀπονεμηθῆναι προσέταξε, τοὺς τοῖς πρώτοις τῶν αὐτοῦ φίλων ἀφωρισμένους, καὶ πᾶσαν αὐτοῖς τῶν χρειωδῶν δαψίλειαν

λειαν

λειαν περιεποιήσατο. εὖ ἐκεῖνος εἰδὼς ὅτι τὸ περί τι μικρὸν τῶν ἀναγκαίων τῷ σώματι τοῖς τῆς φροντίδος λογισμοῖς ἐπισρέφεσθαι, τῆς πρὸς Θεὸν σχολῆς ἀφαιρεῖται πάμπολυ, εἶχε δὲ αὐτὸν ἔρως δριμὺς, τὰ καθ' ἑκάσην τούτοις προσδιαλέγεσθαι, καὶ παρ' αὐτῶν ἱσορίας ἀρχαίας καὶ βίβς ἁγίων ἀναδιδάσκεσθαι, καὶ τὰ τῶν γραφῶν διὰ σόματος αὐτῶν ἐπιλέγεσθαι. ἀλλὰ καὶ ὅσοι ἦσαν περὶ αὐτὸν γένης τὲ ὄγκῳ καὶ πλούτῳ βάρει τῶν ἄλλων προέχοντες, καὶ ἕτοι δὴ τοῖς ἁγίοις προσφοιτῶντες ὡς παῖδες ἐς διδασκάλων, ἠρώτων πάντα τὰ σωτηρίας ἐχόμενα, καὶ πηγῶν ἀντλοῦντες ἐκείνων τῶν ἀενάων, αὐτοί τε ἔπινον καὶ τοῖς οἴκοις τοῦ νάματος μετεδίδοσαν. καὶ σφοδροὶ τοῖς ἁγίοις ἐνέκειντο, εἴπως αὐτὸς πείσαιεν ἕκασος, τῆς οἰκίας αὐτοῦ ἐπιβῆναι, ἁγιασμὸν τὴν παρουσίαν τῶν διδασκάλων ἡγούμενοι, καὶ ὅπου ἂν ὦσιν οἱ τρεῖς ἕτοι, οἱ τὰ πάντα καὶ ψυχὰς συνημμένοι καὶ σώματι, ἐκεῖ παρεῖναι πιστεύοντες καὶ τὸν κύριον. τοῖς ἁγίοις μέντοι τὸν ὄχλον φεύγουσιν, ἅμα δὲ καὶ τὸ θυμῆρες τῷ ἄρχοντι τελεῖν σπεύδουσιν, ἐκ ἐδόκει ταῖς οἰκίαις παρέχειν ἑαυτὸς τῶν πολλῶν. εἰμὴ ὁ Θεοφιλὴς ἐκεῖνος ἄρχων αὐτοῖς ἐπιτρέψειεν. ὅθεν καί τις Βουλγάρων Ἐχάτζης τὴν κλῆσιν. σαμψὴς τὸ ἀξίωμα, τῷ ἄρχοντι προσελθὼν, ἠξίωσεν εἰς τὴν αὐτοῦ οἰκίαν συμπαραλαβεῖν τῷ ὁσίῳ Ναοὺμ τὸν ἱερώτατον Κλήμεντα. καὶ ὃς, ἦν γὰρ κεχαρισμένος αὐτῷ ὁ τὴν αἴτησιν ποιούμενος, ἑτοίμως κατένευσε, καὶ μετὰ πάσης ἔφη τιμῆς τὸς διδασκάλους ὑπόδεξαι, ἄχρις ἂν ἐπ' αὐτοῖς τελείως τὸ πρακτέον οἰκονομήσωμεν. ἁγιάζεται καὶ Τζαούλάβῳ τὸ οἴκημα τῇ ἐπιφοιτήσει Ἀγγελαρίᾳ. καὶ τούτῳ γὰρ αἰτησαμένῳ τοῦτον λαβεῖν τὸν διδάσκαλον, ὁ ἄρχων τὴν χάριν δέδωκεν. ἀλλ' ἐκ ἔμελλεν ἄρα τῆς ἐν τῷ βίῳ τούτου παρουσίας ἀπολαῦσαι Τζαούλάβος ἐπὶ μακρόν· ζήσας γὰρ Ἀγγελάριος παρ' αὐτῷ

τῷ χρόνου τινὰ, χερσὶν ἁγίων ἀγγέλων ἐκ ἀηδῶς ἐναπέψυξε. Κλήμης δὲ καὶ Ναοὺμ παρὰ τῷ Ἐχάτζῃ διῆγον, πάσης μὲν τιμῆς ἀξιούμενοι, μειζόνων δ' ἀξιοῦντες αὐτοὶ καὶ φιλοτιμοτέρων τῶν δωρεῶν, ὅσῳ τὰ πνευματικὰ σπείροντες, τὰ σαρκικὰ τοῦ ἀνδρὸς ἐθέριζον. εἶτα, ἐ γὰρ ἀνύει ἀνὴρ πάντας κινῶν λογισμὸς ὁ τοῦ Θεοῦ ὄντως ὑποστράτηγος Μιχαὴλ, ὃν καὶ Βορίσην ὁ λόγος φθάσας ὠνόμασεν, ὅπως ἅπασαν ἀσχολίαν πρὸς τὸ τοῦ Θεοῦ ἔργον τοῖς ἱεροῖς ἀνδράσι παρασκευάσειε, Θεοῦ τὸν λογισμὸν τοῦτον ὑποβαλόντος αὐτῷ, διαιρεῖ μὲν τὴν κατμιτζιβίτζαν ἐκ τοῦ κοτοκίου, προϊσᾶ δὲ αὐτῆς Δοβετᾶν παραλύσας αὐτὸν τῆς διοικήσεως. παραδίδωσι δὲ τῷ Δοβετᾷ τὸν μακάριον Κλήμεντα, μᾶλλον δὲ τὸν Δοβετᾶν Κλήμεντι, ἢ τόγε ἀκριβέσερον εἰπεῖν, ἑκάτερον ἑκατέρῳ, τὸν μὲν, ὡς τὰ πάντα ὑπήκοον, τὸν δ' ὡς ὑπουργῷ τούτῳ πρὸς τὰ θελητέα χρησόμενον. διδάσκαλος γὰρ ὁ Κλήμης τῆς κατμιτζιβίτζας ἐξέλετο. προσάγματά τε κατὰ πάντων ἐφοίτα τῶν ταύτην οἰκούντων τὴν χώραν φιλοτίμως τὸν ἅγιον δέχεσθαι, καὶ πᾶσαν τὴν ἀφθονίαν αὐτῷ, καὶ τῶν περιττῶν παρέχεσθαι, δώροις τε δεξιοῦσθαι, καὶ διὰ τῶν ὁρωμένων τῶν ταῖς ψυχαῖς ἐναποτεθειμένων, τῆς ἀγάπης θησαυρῶν δημοσιεύειν πρὸς ἅπαντας. καὶ τὸ δυσωπητικώτερον, αὐτὸς ὁ Βορίσης τρεῖς οἴκους τῷ τρισμάκαρι Κλήμεντι τῶν τὴν πολυτέλειαν περιττῶν ἐν Διαβόλει προσαναθέμενος τοῦ γένους τῶν κομήτων ὄντας. ἀλλὰ δὴ καὶ κατ' Ἀχρίδα καὶ Γλαβενίτζαν ἀναπαύσεως τόπους αὐτῷ ἐχαρίσατο. τὰ μὲν δὴ τοῦ ἄρχοντος, τοιαῦτά τε καὶ τοσαῦτα. καὶ ἕτως ἡ θαυμασία ψυχὴ, τὸν ἐπὶ Χριστῷ πόθον εἰς τὸν τοῦ Χριστοῦ θεράποντα καθ' ὅσον ἐνῆν ἐκχέασα, καὶ τῆς ἄλλης τῆς τιμίας ταύτης φιλοτιμίας ἀρχέτυπον προετίθετο. τὰ δὲ τοῦ Κλήμεντος οἷα; ἆρα ταῖς τιμαῖς χαυνωθεὶς καὶ ὑπὲρ ὃ ἦν ἑαυτὸν

λο-

λογισάμενος, εἶτα ϗ τρυφερώτερον ἔζησε, πάντα ἤδη κατωρθωκέναι οἰόμενος; ἄπαγε. ἀλλ' ὥσπερ μήπω μηδενὶ μηδὲ μικρὸν θεραπεύσας Χριστὸν, ἀρχὴν τῶ περὶ τὸν λόγον ἀγῶνος, ϗ τῆς περὶ τὸ κήρυγμα σπουδῆς, ταύτας δὴ τὰς τιμὰς κατεβάλλετο, ϗ ὅπως μὴ ψεύσῃ τὸν ἄρχοντα τῶν ἐπ' αὐτῷ ἐλπίδων, ἀδέποτε φροντίζων ἐνέλειπεν. ἀμέλει ϗ τὰς χώρας ταύτας περὶ ὧν ἐμνήσθημεν τοῖς ἔθνεσι τὸ τῶ Θεῶ σωτήριον μεγαλοφώνως κατήγγειλε. καὶ πᾶσι μὲν κοινῶς περί τε τῶν σωτηριωδῶν τῶ Χριστῶ ἐντολῶν καὶ τῶν θείων δογμάτων διαλεγόμενος, ϗ πείθων ὡς ϗ βίος σεμνὸς, χωρὶς δογμάτων ὑγιῶν, νεκρός τῳ ὄντι ϗ ὀδωδὼς, ϗ δόγματα χωρὶς βίω πρὸς ζωὴν ἀκ εἰσάγεσιν· ὁ μὲν γὰρ ἐοικέναι ποιεῖ τυφλῷ πόδας ϗ χεῖρας ἔχοντι, τὰ δὲ, βλέποντι μὲν, χεῖρας δὲ ϗ πόδας ἠκρωτηριασμένῳ. ἔχων δέτινας ἐκλελεγμένους τῶν ἄλλων καθ' ἑκάστην ἐνορίαν ἄμεναν ὀλίγους, εἰς τρισχιλίους γὰρ ϗ πεντακοσίους ἠριθμῶντο. τούτοις τὰ πλείω συνῆν, ϗ τὰς βαθυτέρας τῶν γραφῶν ἀνεκάλυπτεν. ἡμᾶς δὲ τὰς ταπεινὰς ϗ ἀναξίους, οἰκειοτέρους τῶν ἄλλων διὰ σπλάγχνα τῆς χρηστότητος ἐποιήσατο, ϗ πάντοτε συνῆμεν αὐτῷ, πᾶσι παρακολουθοῦντες, οἷς ἔπραττεν, οἷς ἔλεγεν, οἷς δι' ἀμφοτέρων ἐδίδασκεν. ἀκ εἴδομεν οὖν αὐτὸν ἠχολακότα ποτέ. ἀλλ' ἢ τὰς παῖδας ἐδίδασκε, καὶ τούτους ποικίλως, τοῖς μὲν, τὸν τῶν γραμμάτων χαρακτῆρα γνωρίζων, τοῖς δὲ, τὸν τῶν γεγραμμένων νοῦν σαφηνίζων, ἄλλοις πρὸς τὸ γράφειν τὰς χεῖρας τυπῶν· καὶ ἀκ ἡμέρας μόνον, ἀλλὰ δὴ ϗ νυκτὸς ἢ προσευχῇ ἑαυτὸν ἐδίδα, ἢ τῇ ἀναγνώσει προσεῖχεν, ἢ βίβλους ἔγραφεν. ἔστι δ' ὅτε ϗ δυσὶν ἔργοις κατὰ ταὐτὸν ἐμερίζετο, γράφων, ϗ τοῖς παισὶ τῶν μαθημάτων τι ὑφηγούμενος. τὴν γὰρ ἀργίαν ἤδει πᾶν κακον διδάξασαν, ὡς ἡ πᾶν καλὸν διδάξασα σοφία διάτινος τῶν αὐτῆς

αὐτῆς ὑπηρετῶν ἀπεφθέγξατο. ἀκοῦν ἄριστοι πάντων οἱ τάτα μαθηταὶ ϗ βίῳ ϗ λόγῳ γεγόνασιν. ἔδει γὰρ τὰς ἕτω μὲν καλῶς φυτευθέντας, ὕτω δὲ ϗ ἐπιμελῶς ποτισθέντας, ϗ ὑπὸ Θεῦ αὐξηνθῆναι. ἐκ τάτων ἀναγνώσας, ὑποδιακόνους ϗ διακόνους, ϗ πρεσβυτέρας τελεῖ. καθ' ἑκάσην δὲ ἐνορίαν τριακοσίοις μαθηταῖς εὐθυνεῖτο, χωρὶς τῶν μισθίων αὐτῶν μηδὲν τῷ ἄρχοντι συντελᾶσιν, ἀλλὰ Θεῷ στρατευομένοις, ϗ τάτῳ τελεῖν τεταγμένοις, μᾶλλον δὲ ἀποδιδόναι ϗ ταῦτα Κλήμης δίδλων ἑπτὰ ἐνιαυτῶν κατειργάσατο. ἤδη δὲ ὀγδοόντε ἦν αὐτῷ τῆς διδασκαλίας ἔτος, ϗ ὕστερον τῆς ζωῆς τῷ τῶ Θεῦ δάλῳ Μιχαὴλ τῷ Βορίσῃ τῷ ἡγιασμένῳ Βουλγαρίας ἄρχοντι. διαδέχεται δὲ τὴν ἀρχὴν ὁ τάτε υἱὸς Βλαδίμηρος, τέταρτον δὲ ἔτος ἐπιβιὰς τῇ ἀρχῇ, ἐξ ἀνθρώπων ἐγένετο. ϗ κληρονόμος πάντων ὁ ἀδελφὸς αὐτῦ Συμεὼν, ὃς ϗ βασιλεὺς πρῶτος ἀνεκηρύχθη Βουλγάρων. τῶτον ἐγέννησεν ὁ Μιχαὴλ κατὰ τὴν ἰδέαν αὐτῦ, ϗ κατὰ τὴν ὁμοίωσιν αὐτῦ, χαρακτῆρας ἀπαραποιήτως ἀποσώζοντα τῆς χρηστότητος. ϗ πᾶσι μὲν ἁπλῶς ϗ ἀγαθὸς ἦν, μάλισα δὲ πρὸς τὰς σεμνότητα τρόπων ἐπαγγελλομένας, ϗ βίῳ χριστιανικωτάτην ἐμφάνειαν πίστιν θερμὴν ἐπεδείκνυτο, ϗ τῷ ζήλῳ τῶ οἴκῳ τῶ Θεῦ κατηφίετο. ϗ τοίνυν τὸ τῶ πατρὸς ὑστέρημα ἀνεπλήρωσεν, ἐπαυξήσας τὸ θεῖον κήρυγμα, ϗ ταῖς ἁπανταχοῦ δομηθείσαις ἐκκλησίαις ἐγκατασήσας τὴν ὀρθοδοξίαν ἀσάλευτον, ϗ τῷ τῶ Θεῦ νόμῳ πλατεῖαν δεδωκὼς ὁδὸν καὶ ἀσενοχώρητον. ἐπεὶ δὲ πολὺν ἡ φήμη τὸν Κλήμεντα ποιῆσα, ϗ τῆς περὶ αὐτῦ δόξης ἀεὶ καθιζῶσα μείζονα, καὶ εἰκότως τὸν ἀναβάσεις ἐν τῇ καρδίᾳ διατιθέμενον, εἶλε καὶ τὸν βασιλέα κατὰ κράτος Συμεὼν, καὶ τῆς ἀρετῆς τῦ διδασκάλου ἐρασὴν πεποίηκε, μεταπαλεῖται μὲν ὁ βασιλεὺς τὸν ἅγιον, εἰς λόγους δὲ αὐτῷ ἔρχεται, καὶ

τρυγήσας ἁγιασμὸν ἀπ' αὐτῆ τῆ προχήματος. ἦν γὰρ τὸ εἶδος ϗ τοῖς ἐχθροῖς αἰδεσιμώτατος ὁ μακάριος, πολλὰ τὴν Βλγάρων χώραν ἐπαινεῖν εἶχε, ϗ τὴν οἰκείαν βασιλείαν μακαρίαν τιθέναι, ὅτι τοιῦτον ἀγαθὸν παρὰ Θεῦ δέδεκτο. μετὰ ταῦτα τοῖς συνετωτέροις τῶν περὶ αὐτὸν σκοπήσας, οἳ πάντες ὡς πατρὶ προσεῖχον τῷ Κλήμεντι· τῆτο μόνον ἀρέσκειν Θεῷ, ὃ τιμῶσι τῆτον πιςέυοντες, ἐπίσκοπον Δρεμβίτζας ἤτοι Βελίτζας προβάλλεται. καὶ ϗ ἕτω δὴ Βλγάρῳ γλώττῃ πρῶτος ἐπίσκοπος ὁ Κλήμης καθίσταται. ἐπεὶ δὲ τὸ ἔργον τῆς ἐπισκοπῆς ἐγκεχείρισο, τὸ τῆς ἀξίας ὕψος ὑπὸ βάθραν τῆς πρὸς Θεὸν ὑψώσεως ἔθετο, ϗ τοῖς προτέροις κόποις πολλαπλασίως προσέθηκε. Σολομὼν μὲν ἓν φησιν, ὡς ὁ προσιδεὶς γνῶσιν, προσίδησιν ἄλγημα. Συμεὼν δὲ τῷ Κλήμεντι προσιδεὶς τιμὴν, προσέθηκεν ἄλγημα· εὑρὼν γὰρ τὸν τῆς ἐνορίας ταύτης λαὸν παντάπασιν θεία λόγυ ϗ γραφῶν ἀμείλικτον, ϗ μηδὲν πεπαιδευμένον τῶν ἐκκλησίαν κοσμέντων, ϗ λαὸν ταττόντων τῷ τῆς εὐταξίας ϗ κοσμιότητος Πνεύματι, ἀκ ἐδίδα ὕπνον τοῖς ὀφθαλμοῖς ἀδὲ νυσαγμὸν τοῖς βλεφάροις. ἀλλὰ τροφὴν ϗ τρυφὴν τὴν περὶ τῆ λαῆ ἐποιεῖτο μέριμναν, ϗ ἀεὶ ἐδίδασκε, ϗ ἀεὶ διέττατε, τὴν ἄγνοιαν διορθέμενος, τὴν ἀκοσμίαν κοσμῶν, πᾶσι τὰ πάντα κατὰ τὴν ἑκάςυ χρείαν γινόμενος, τῷ κλήρῳ τὰ περὶ τὴν ἐκκλησιαςικὴν εὐκοσμίαν ϗ ὅσα τῶν ψαλμῳδιῶν τε ϗ εὐχῶν ὑφηγέμενος, ὥςε τελέσαι τὰς τῆς ἐπισκοπῆς αὐτῆ κληρικὰς ἐν μηδενὶ μηδενὸς τῶν περιβοήτων ἀποφερομένας τὰ δεύτερα, μᾶλλον μὲν οὖν κατὰ πάντων ἐπὶ. πᾶσι τοῖς ἐπαινετοῖς ςεφομένας, τῷ λαῷ δὲ τὰς γνώμας ςηρίζων, κἀπὶ τὴν πέτραν τῆς ὀρθῆς πίςεως αὐτοῖς κατασκευάζων ςερέωμα. παντάπασιν γὰρ ἦσαν ἀμαθέςατοι, ϗ τὸ ὅλον εἰπεῖν κτηνωδέςατοι. τί δὲ; λόγῳ μὲν ἔτρεφε, τῷ ἀληθινῷ

νῷ ἄρτῳ ϗ καρδίας ὄντως ςηρίζοντι, ἠμέλει δὲ τῆ ϗ σωματικῶς τρέφειν ὅσας τοιαύτης τροφῆς ἐπιδεεῖς εὕρισκεν; ἀλλ' ἕτως ἂν ἐξ ἡμισείας ἐμιμεῖτο τὸν ἑαυτῆ Ἰησῆν, ὃν ᾔδει μετὰ τῆς διδασκαλίας, ϗ ἄρτοις τὰς ἀγνώμονας τρέφοντα. διὸ ϗ πατὴρ μὲν ἦν ὀρφανῶν, ϗ χηρῶν βοηθὸς, πάντα τρόπον αὐτῶν κηδόμενος, ἡ δὲ θύρα παντὶ ἁπλῶς ἀνέῳκτο πένητι, ϗ ξένος ἐκτὸς ἀκ ἠυλίζετο. σκοπὸν δὲ τῆ βίῳ, τὸν μέγαν ἐποιεῖτο Μεθόδιον, ϗ πρὸς ἐκεῖνον ἀπευθυνόμενος, μὴ ἀποτυχεῖν ἠπείγετό τε ϗ ηὔχετο, ϗ οἷόν τινα πίνακα σοφῆ τὴν τέχνην ζωγράφῳ τὸν ἐκείνῳ βίον ϗ τὰς πράξεις τῆς οἰκείας ἀγωγῆς προσηςάμενος, ἑαυτὸν ἐζωγράφει πρὸς τῆτον ἐπιμελῶς. τὸν γὰρ τῆτῳ βίον ὡς ἴδοις ἄλλος ἐγίνωσκεν, οἷα ἐκ νέου ἔτι ϗ ἀπαλῆ ἐκείνῳ παρηκολθηκώς, καὶ ὀφθαλμοῖς πάντα τὰ τῆ διδασκάλῳ παρειληφώς. συνιδὼν δὲ τὸ τῆ λαῆ παχὺ ϗ περὶ τὸ νοῆσαι γραφὰς ἀτεχνῶς δερμάτινον, ϗ ἱερεῖς δὲ πολλὰς Βλγάρας δυσξυνέτως ἔχοντας τῶν Γραικῶν, ὧν περὶ τὴν ἀνάγνωσιν μόνην ἐνετρίβησαν γράμμασι, κἀντεῦθεν κτηνώδεις ὄντας, ὡς μὴ ὄντος Βλγάρων γλώσσῃ πανηγυρικῆ λόγυ, ταῦτα τοίνυν συνεγνωκὼς, μηχανᾶται ϗ πρὸς τῆτο, ϗ καθαιρεῖ τὸ τῆς ἀγνοίας τεῖχος τῷ μηχανήματι. λόγυς γὰρ συντεθεικὼς εἰς πάσας τὰς ἑορτὰς ἁπλῆς ϗ σαφεῖς, ϗ μηδὲν βαθὺ μηδὲ περιπεπλεγμένον ἔχοντας, ἀλλ' οἵας μὴ διαφεύγειν μὴ δὲ τὸν ἠλιθιώτατον ἐν Βλγάροις, διὰ τάτων τὰς τῶν ἁπλεςέρων ψυχὰς ἐθρέψατο, γάλακτι ποτίσας τὰς μὴ δυναμένας ςερεωτέραν τροφὴν προσήκασθαι, ϗ Παῦλος, ἄλλοις τοῖς Βλγάροις Κορινθίοις ἄλλος γενόμενος· ἐν αὐτῶν γὰρ τῶν τε Χριςῆ ϗ ἐπὶ Χριςῷ τελεμένων ἑορτῶν ἔξεσι μαθεῖν τὰ μυςήρια, ϗ τῆς παναγνῆ Θεοτόκυ ταῖς μνήμαις πολλάκις ὡς ἴςε γινομέναις τῆ ἔτυς, ἐγκώμια, ϗ διηγήσεις τῶν περὶ αὐτὴν θαυμασίων·

διὰ

διὰ τῶν λόγων ἐκείνων ὁ Κλήμης πεφιλοτίμηται· οὐδὲ τὸν βαπτισὴν εὑρήσεις ἀνεγκωμίαστον, ἀλλὰ καὶ τὰς τῆς κεφαλῆς αὐτῦ θαυμασὰς εὑρέσεις μαθήσῃ, καὶ προφητῶν καὶ ἀποστόλων ἐντεύξῃ βίοις καὶ περιόδοις. καὶ μαρτύρων ἄθλοις πτερωθήσῃ πρὸς τὸν ἐκείνυς διὰ τῦ αἵματος αὐτῶν προσλαβόμενον. ποθεῖς καὶ πατέρων ὁσίων ἀγωγὴν, καὶ ζηλωτὴς εἶ πολιτείας ἀσάρκυ μικρῦ καὶ ἀναίμονος; εὑρήσεις ταύτην Βυλγάρῳ γλώττῃ πονηθεῖσαν τῷ σοφῷ Κλήμεντι. φέρονται γὰρ ταῦτα πάντα παρὰ τοῖς φιλοπόνοις σωζόμενα, τῦτο μὲν εἰς πολλὰς τῶν ἁγίων συντεθειμένα, τῦτο δ' εἰς τὴν πανάμωμον τῦ Θεῦ μητέρα ἱκετηρίοις, εὐχαριςηρίοις, καὶ ἁπλῶς εἰπεῖν πάντα τὰ τῆς ἐκκλησίας, καὶ οἷς μνῆμαι Θεῦ καὶ ἁγίων φαιδρύνονται, καὶ ψυχαὶ κατανύσσονται, Κλήμης τοῖς Βυλγάροις ἡμῖν παρέδωκε. ταῦτα δὲ κἂν τῷ μοναςηρίῳ αὐτῦ ἀπέθετο, ὅ ἐν Ἀχρίδι ἐδείματο ἔτι περιόντος τῷ βίῳ τῦ μακαριςῦ Βορίσυ, πρὶν ἢ πάντως τὴν τῆς Βελίτζας ἐπισκοπὴν ἀναδέξαθαι. ἐπεὶ γὰρ εἶδε τῦτον τὸν ἄρχοντα πᾶσαν τὴν ὑπ' αὐτὸ Βυλγαρίαν ἑπτὰ καθολικοῖς ναοῖς περιζώσαντα, καὶ οἷόν τινα λυχνίαν ἑπτάφωτον ἀναλάμψαντα, ἠθέλησε καὶ αὐτὸς ἐν Ἀχρίδι οἰκεῖον δείμαθαι μοναςήριον. τῦτῳ δὲ καὶ ἑτέραν ἐκκλησίαν προσέθηκεν ἣν ὕςερον ἀρχιεπισκοπῆς θρόνον ἔθεντο. καὶ ἦτως ἦσαν ἐν Ἀχρίδι τρεῖς ἐκκλησίαι, μία μὲν ἡ καθολικὴ, δύο δὲ τῦ ἱερῦ Κλήμεντος μεγέθει πολλῷ τῆς καθολικῆς βραχύτεραι, σχήματι δὲ περιηγμένῳ καὶ κυκλοτερεῖ ταύτης ἐπιτερπέςεραι. ἔσπευδε γὰρ διὰ πάντων, τὴν τῶν Βυλγάρων περὶ τὰ θεῖα ῥαθυμίαν ἐκκρέαθαι, καὶ τῷ κάλλει τῶν οἰκοδομημάτων ἑφελκομένυς συνάγεσθαι, καὶ ὅλως ἐξημερῦν τὸ τῆς καρδίας αὐτῶν ἄγριον καὶ ἀτίθασσον, καὶ περὶ θεογνωσίαν ἀπόκροτον. καὶ καινὸν ἔδει, εἰ γνώμας ἀνθρώπων μεταβαλεῖν ἠπείγετο πρὸς τὸ ἥμερον

καὶ

καὶ ἀνθρώπινον. ὅπυγε πάσῃ τῇ τῶν Βυλγάρων χώρᾳ δένδρεσιν ἀγρίοις Κομώσῃ καὶ καρπῶν ἡμέρων ἀπορήσῃ, καὶ τῦτο τὸ καλὸν ἐδωρήσατο. ἀπὸ τῆς τῶν Γραικῶν χώρας πᾶν εἶδος ἡμέρων δένδρων μεταγαγὼν, καὶ τοῖς ἐγκεντρισμοῖς καθημερώσας τὰ ἄγρια ἴν, (οἶμαι) καὶ διὰ τῦτο παιδεύσῃ τὰς τῶν ἀνθρώπων ψυχὰς, μεταποιεῖσθαι τὰς χυμὰς τῆς χρηςότητος, καὶ καρποφορεῖν Θεῷ τὴν ἐργασίαν τῦ θείυ θελήματος, ἣν ἐκεῖνος μόνην βρῶμα πεποίηται. ὅτως ἄρα τῆς τῶν ψυχῶν ὠφελείας ἐγίνετο, καὶ ὅπως τὴν ἐκκλησίαν κυρίᾳ παντοιοτρόπως πλατύνῃ, φροντίδα πεποίητο, μηδενὸς ἐπισρεφόμενος τῶν τῦ σώματος μηδὲ τὴν ψυχὴν αὐτῦ τιμίαν ἔχων ἑαυτῷ κατὰ τὸν θεῖον ἀπόςολον, ἀλλὰ τῶν πολλῶν ἵνα σωθῶσι κηδόμενος. ὅτω δὲ τὴν πρὸς Θεὸν ἀγάπην ἔχοντι τάτῳ καὶ τὸν ἐν ἀρανοῖς Πατέρα ὡς ἰῷ ἀγαπῶντι, ἆρα μικρὰ τῦ ἀνταγαπᾶσθαι παρ' ἐκείνυ μαρτύρια; ἤμενσυν. ἀλλὰ δοξάζει καὶ τῦτον Θεὸς θαυματυργῷ χάριτι. καὶ πῶς, ἐντεῦθεν ἀκούοιτε ἄν. ἐπάνεισι μὲν ἐκ Γλαβενίτζας εἰς Ἀχρίδα Κλήμης ἅμα μὲν, τὰς τῆς χώρας ἐπισκεψόμενος εἰ τὰς ψυχὰς εἶεν εὔρωσοι, εἰ τῷ τῦ Θεῦ φόβῳ οἱάτινι βακτηρίᾳ ςηρίζοιντο. ἆρα δὲ καὶ κατὰ σχολὴν ἐν τῷ μοναςηρίῳ τῷ Θεῷ συνεσόμενος. οὗ τῦ κάλλυς ἐρῶν, δυσφόρως εἶχεν ἄλλοσέ ποι περιελκόμενος. παράλυτοι δέτινες δύο ὑπ' ὄψιν αὐτῷ πεσόντες ὁδεύοντι, ὧν ἄτερος πρὸς τῇ παρέσει καὶ τὰ πᾶσιν ἡδίςυ φωτὸς ἐςέρητο, εἰς οἶκτον τὴν συμπαθεςάτην ψυχὴν ἐκίνησαν. ἀλλ' ὅσον πρὸς οἶκτον ἕτοιμος, τοσῦτον καὶ πρὸς ταπεινοφροσύνην ἐπικλινής· μᾶλλον δὲ πλεῖον ἐκείνῳ τῦ λαθεῖν θαυματυργῦντα φροντὶς, ἢ τοῖς παραλύτοις ἐπιθυμία τῦ τυχεῖν τῆς ἰάσεως. ταύτητοι καὶ περιβλεψάμενος κύκλῳ καὶ μηδένα ἑωρακὼς, ἀνατείνει μὲν τὸ ὄμμα εἰς ἀρανὸς, αἴρει δὲ χεῖρας ὁσίας εἰς προσευχὴν, καὶ καθέλκει τὴν θεί-

αν

αν βοήθειαν. ἅπτεται χερσὶν ἐκείναις, αἷς τὴν εὐχὴν ἐπλήρωσε, τῶν παραλελυμένων σωμάτων. καὶ ἡ ἁφὴ σύσφιγξις αὐτῷ ἐγένετο, καὶ συνάρθρωσις. καὶ τοῦτο δὲ, τὸ τοῦ Ἡσαΐου, ἑκάτερος αὐτῶν ἄλλόμενος ἦν ὡς ἔλαφος, πλὴν ὅσον ἀχωλὸς πρὶν μόνον, καὶ μέλος ἓν πεπηρωμένος τοῦ σώματος, ἀλλ' ὅλος ἀκίνητος καὶ μηδὲν τῆς γῆς διαφέροντι ἐφ' ἧς κατέκειτο, τῷ δέγε καὶ τυφλῷ, ταχὺ ἀνέτειλεν ἴαμα, καὶ φῶς ἰδὼν φωνῇ μεγάλῃ τὸν κύριον ἐμεγάλυνεν. ἀλλ' οὐκ ἔμελλεν ἄρα παντάπασιν ὀφθαλμὸς λαθεῖν τὸ θαυματούργημα. ὡράθη γὰρ τῶν τινι τοῦ ἁγίου θεραπευτῶν, ὃν ἰδὼν μετὰ ταῦτα ἐκεῖνος, καὶ γυὸς θεατὴν ὄντα ἀθέατον καὶ πρὸς τῇ κέλλῃ κρυπτόμενος κατεσκήπτετο, ἐνεβριμήσατότε ὡς πονηρευομένῳ, καὶ σὺν ἀπειλῇ μὴ ἐξειπεῖν τινὶ τὸ γεγονὸς, ἄχρις ἂν τῷ κόσμῳ Κλήμης ἐνδημοίη, παρήγγειλεν. ἤδη δὲ καὶ γήρᾳ καμφθεὶς, καὶ πόνοις ἐκδαπανηθεὶς, ἔκρινε τὴν ἐπισκοπὴν παραιτήσασθαι, οὐχ ὡς λειποτακτῶν, οὐδὲ τῆς τάξεως ἐξιστάμενος, ἐν ᾗ τὸ Πνεῦμα τὸ ἅγιον αὐτὸν ἔθετο ποιμαίνειν τὴν ἐκκλησίαν τοῦ Θεοῦ, ἀλλὰ δι' εὐλάβειαν μακαριζήντε καὶ ἔνθεον. ἐδεδίει γὰρ μὴ τῇ αὐτοῦ ἀσθενείᾳ τὸ ἔργον τοῦ Θεοῦ καταλύοιτο. καὶ δὴ τῷ βασιλεῖ προσελθὼν, ἄχρι μὲν, εἶπε, θεοσεβέσατε βασιλέων ἀντεῖχε μοι τὸ σῶμα πρὸς πόνες καὶ φροντίδας ἐκκλησιαστικὰς, βαρυτέρας ὅσας τῶν πολιτικῶν ὡς ἔγωγε πείθομαι, τὸ τὴν ἐκκλησίαν τοῦ Θεοῦ καταλιπεῖν, ἣν αὐτὸς ἐνεχείρισέ μοι τῷ σῷ κράτει χειρὶ χρησάμενος, πάσαις ψήφοις ἐδόκει κατάκριτον, καὶ ἀδὲ μισθοῦ τὸ ἔργον. ἐκείνῳ γὰρ τοῦ λύκου ἐπιόντος, φεύγειν καὶ ἀφιέναι τὰ πρόβατα σύνηθες, ἐμοὶ δε τίς ἀπολογία, μηδένα λύκον ὁρῶντι, τὴν ποίμνην καταλιπεῖν τοῦ Θεοῦ; ἔκκν ἀδὲ κατέλιπον ἄχρι καὶ ἐς τόδε καιροῦ· ἐπεὶ δέμοι καὶ τὸ γῆρας ὁρᾷς ὅπως ἐπίκειται, καὶ τὸ τῶν πολ-

πολλῶν κόπων πλῆθος τὸ πᾶν παρείλετο τῆς δυνάμεως, ὑπὲρ τῆς ἐκκλησίας μερίμνησον, καὶ τὸν δυνάμεως εὖ σωματικῆς πρὸς τῇ πνευματικῇ ἔχοντα, καὶ νεαρώτερον τὰς ἐκκλησιαστικὰς φροντίδας ἀναδεξόμενον τῷ τοῦ κυρίου οἴκῳ ἐπίσησον. ταύτην μοι τὴν τελευταίαν ἀξίωσιν πλήρωσον. δός μοι τὰς ὀλίγας ταύτας ἡμέρας ἐμαυτῷ προσλαλῆσαι καὶ τῷ Θεῷ, καλόνμοι πρὸς τοῦτο τὸ μοναστήριον οἰκητήριον, τὸν ἐν τούτῳ χάρισαι θάνατον. τί γαρ ἐμοὶ καὶ ταῖς φροντίσιν ἔτι κοινὸν, σιβαρωτέρων δεομέναις μελῶν; εἰδὲ πρὸς τὰς τῆς ἐκκλησίας φροντίδας ἀδυνατῶ, τίνος ἄλλου χάριν τῆς ἀξίας ταύτης μεταποιήσομαι; ἔργον γὰρ τὴν ἐπισκοπὴν Παῦλος ἐκάλεσεν, ἧς ἀπέχειν προσῆκε τὸν τῷ ἔργῳ μὴ οἰκειότατον. μὴ δὴ θελήσῃς τὴν ἐκκλησίαν, ἐπὶ τῷ ἐμῷ ὀνόματι ἀνθήσασαν ὑπὲρ τὰς πολλὰς, εἶτα ἐπ' αὐτῷ τούτῳ μαραινομένην ἰδεῖν. ἀλλ' ὅπερ εἶπον, τὸ κάλλος αὐτῆς δι' ἑτέρων ἀκμαιοτέρων συντήρησον. κίνδυνος γὰρ ἀμικρὸς διὰ τὴν ἐμὴν ἀσθένειαν τὰ πράγματα φθείρεσθαι. ὁ γὰν βασιλεὺς τῷ καινῷ καταπλαγεὶς τοῦ ἀκόσματος (πλήττει γὰρ ἀπροσδοκήτως τὸ ἀθέλητον ἀκούμενον) τί ταῦτα φάναι Πάτερ λέγεις; πῶς ἀναχοίμην ἐγὼ θρόνοις ἐκείνοις ἰδεῖν σοῦ ζῶντος, ἄλλον ἐπικαθήμενον; πῶς τὴν ἐμὴν βασιλείαν τῶν σῶν ἀρχιερατικῶν εὐλογιῶν ἐρημώσαιμι; ἀπαίσιος οἰωνισμός μοι τῆς ἐκ τοῦ θρόνου τοῦ βασιλικοῦ καθαιρέσεως, ἡ σὴ τοῦ θρόνου τῆς ἐπισκοπῆς ἐγκατάλειψις. εἰ μὲν ἦν παραλελύπηκά τι τὴν σὴν ὁσιότητα, ἐν ἀγνοίᾳ πλημμελήσας. ὡς ἔγωγε οὐδὲν ἐμαυτῷ πεπλημμεληκότι σύνοιδα, καὶ δὴ φειδόμενος ἡμῶν ὡς πατὴρ οὐκ ἐκπομπεύειν ἐθέλεις τὴν ἐμὴν πρὸς σὲ παροινίαν, ἀλλὰ συσκιάζεις τὴν ἀληθινὴν αἰτίαν τῷ τῆς ἀδυναμίας προσχήματι. εἰπὲ δέομαι· ἕτοιμος ὑπέχειν εὐθύνας ἐγὼ, καὶ ἰᾶσθαι τὸ τοῦ πατρὸς ὁ παῖς ἄλγημα, εἰδὲ μηδὲν ἔχεις ἡμῖν ἐγκαλεῖν,

τί λυ-

τί λυπεῖν ἐθέλεις αὐτὸς τὰς μηδὲν λυπήσαντας. ἢ τὸν κλῆρον ἔχεις αἰτιᾶσθαι ὡς ἀπειθῆ ἢ σκληραύχενα. πάντας γὰρ διὰ τῆ εὐαγγελίᾳ γεννήσας, σαυτῷ ἢ τῷ Θεῷ ὑποτέθεικας. ἐχ ἡμᾶς αὐτὸς ὡς τάχα τῶν σῶν ἐνταλμάτων ἀφηνιάζοντας, ἐκ ἄλλότι τῶν σῶν ἐπίψογον. τί τοίνυν παῖδας ἐᾷς τὴν σὴν ὀδυρομένας ἀνεύλογον ἀναχώρησιν, ἢ πείθε πάτερ εἰδὲ μή, τολμηρὸς ὁ λόγος, κἂν πάντα λέγῃς, ἀπείσομαι, κἂν πάντα ποιῇς, ἀ καμφθήσομαι. παραίτησις γὰρ οἶμαι μόνοις τοῖς ἀναξίοις ἁρμόδιος. σὺ δὲ πάσης ἀξίας ἐπέκεινα. κάμπτεται τάτοις ὁ γέρων, ἢ ἀδὲν περαιτέρω περὶ παραιτήσεως τοῖς πρὸς τὸν βασιλέα λόγοις προθεὶς, ὑποσρέφει μὲν εἰς τὸ μοναςήριον, τὸν δὲ ἄνω Βασιλέα τῷ αὐτῆ σκοπῷ εὑρίσκει συντρέχοντα. ἅμα γὰρ τῇ ὑποσροφῇ, νόσῳ μὲν καταβάλλεται, προεγνωκὼς δὲ τὸν θάνατον, ἐξιτήριον δῶρον ταῖς Βλγάρων ἐκκλησίαις χαρίζεται, καὶ τὸ λεῖπον τῷ τριῳδίῳ προστίθησι. τὸ γὰρ ἀπὸ τῆς καινῆς κυριακῆς ἄχρι τῆς πεντηκοςῆς ψαλλόμενον τότε δὴ συνετέλεσε. καίτοι τεκμαίρεσθαι τοῖς ὀξυτέροις ἐντεῦθεν ἐςι, τίς ἂν εἴη ἐρρωμένος τὸ σῶμα, ὃς κἂν τῇ νόσῳ τοῖς πόνοις ἑαυτὸν κατέτρυχεν. ἀλλὰ γὰρ ἦν ὄντως ὁ ἔσω αὐτῆ ἄνθρωπος τοσάτῳ μέτρῳ ἀνακαινούμενος, ὅσῳ περ ὁ ἔξω ἐφθείρετο. ἢ κατὰ Παῦλον εἶχε λέγειν, ὅταν ἀσθενῶ, τότε δυνατός εἰμι. τί ἔτι; διατίθεται, ἢ τᾶτο γὰρ κανονικὸν, περίτε τῶν βιβλίων αὐτῆ, ὧν ἐποίησε, ἢ τῆς ἄλλης αὐτῆ περιβσίας, μᾶλλον δὲ τῆ Θεῆ ᾧ πάντα εἶχε, ἢ ὃν ἐπλάτει μόνον, τὸν καλὸν μαργαρίτην ὁσοφὸς ἔμπορος, ὀλίγα τῶν ὀςρέων φροντίζων· ἢ τοίνυν πάντα διχῇ μερίσας, τὴν μὲν ἡμίσειαν τῇ ἐπισκοπῇ, θατέραν δὲ μοῖραν τῇ μονῇ καταλέλοιπε, δείξας πάντως κἀντεῦθεν ὅπως δὴ ἢ κτᾶσθαι, καὶ ὡς ἀμφότερα τῷ πρὸς Θεὸν νεύματι. ἐκεῖνος γὰρ τήν-

τε

τε κτῆσιν ἐκ πιςῶν ἀρχόντων ἢ βασιλέως ἔχεν, ἃς ἐκ ἔδει πάντως ἀποψυχραίνειν τῇ παρορᾶσει, ἢ μάλιςα πεφυκότας βαρβαρικώτερον. ἔδειξε δὲ καὶ ὁ κύριος, οἷς τὴν μυροφόρον ἐκείνην, ἐμόνον ἀ παρεῖδεν, ἀλλὰ καὶ προσαπεδέξατο, ἢ τῷ εὐαγγελίῳ ἐνέταξε. τήν τε ἀπόκτησιν εὐαγγελικῶς ἢ κανονικῶς, ἢ ὡς ἐκ ἦν ἄλλως ἐπαινετώτερον ἔθετο. ὅτως ἂν βιώσας, ἢ ὅτω κοσμήσας τὸν παρὰ Θεᾶ δοθέντα θρόνον αὐτῷ, ἢ τέλος ἐπιθεὶς τῇ ἀρχῇ κατάλληλον, ἢ τὸν ὄροφον τῷ θεμελίῳ εὐφυῶς πρέποντα, πρὸς κύριον ἐξεδήμησε. τὸ δὲ θεῖον αὐτᾶ σῶμα, ἢ τῇ ψυχῇ τὴν τιμὴν ἰσοςάσιον, ὅσιον, ὁσίως ὑμνολογηθέντε ἢ τιμηθέν, τῆς μὲν ἀξίας καταδεέςερον, τῆς δυνάμεως δ' ἧν ὅμως τῶν τιμώντων ἐκ ἐλλιπέςερον, τῷ ἐν τῇ μονῇ μνημείῳ ἐνετέθη, ὅπερ αὐτὸς οἰκείαις χερσὶ κατεσκεύασε, κατὰ τὸ δεξιὸν τᾶ προνάε μέρος, εἰκοσὴν ἑβδόμην τότε τᾶ ἰαλίε μηνὸς ἄγοντος, ἐν ἡμέραις Συμεὼν βασιλέως Βλγαρίας, ἔτει ἑξακισχιλιοςῷ τετρακοσιοςῷ εἰκοςῷ τετάρτῳ. ἀλλ' ὅ με διέλαθεν ἀ μικρὸν τῆς τῶν ἁγίων συμψυχίας τεκμήριον. πρὸ γὰρ τῆς αὐτᾶ τελευτῆς εἶδον ἐν ὕπνοις τινὲς τῶν αὐτᾶ μαθητῶν Κύριλλόντε ἢ Μεθόδιον προσελθόντας τῷ μακαρίῳ, ἢ τὴν τᾶ βίου ἔξοδον αὐτῷ προσημαίνοντας. ἀλλ' ὁ μὲν, ὅτως ἀφ' ἡμῶν ἔδοξε γενέθαι, ἢ τὸν βίον τᾶτον λιπεῖν, ἡ χάρις δὲ ἐκ ἀπέπτη, ἀλλὰ ἢ ὁ χῆς τᾶ διδασκάλε ἔτι ἢ νῦν ἐνεργεσίας τελεῖ, πᾶν πάθος ἢ πᾶσαν νόσον ἰώμενος. μαρτυρεῖ τοῖς λεγομένοις ὁ ξηρὸς ἐκεῖνος χεῖρας ἢ πόδας, ὃς τῆς θείας τελεμένης ἱερεργίας τῷ ναῷ προσελθὼν τὴν ἴασιν ἔυρατο. ἠγνοεῖτο μὲν γὰρ τοῖς πολλοῖς ὅς τις εἴη, καὶ ὅθεν, ὡς δὲ τῇ θεραπείᾳ τὴν εὐχαριςίαν προσετίθει, καὶ πολὺς ἦν τὴν ἐξομολόγησιν, χεῖρας ἦρε τὰς ἰαθείσας, ἢ ταῖς βοαῖς ὀχληρὸς ἤδη τοῖς τῷ ναῷ παρευρεθεῖσι κα-

 θίσα-

θίσατο, ἐρωτᾶται τὴν τῆς εὐχαριςίας αἰτίαν, καὶ πάντα καταλέγει, εἶναι μὲν τῆς Ἀχρίδος καὶ αὐτὸς, πολυετῆ δὲ τὴν ἐν τῇ νόσῳ ταύτῃ δυσυχεῖν κάκωσιν. ἀμηχανίᾳ γὰν ἀδὲν ἧττον ἢ τῇ νόσῳ κρατούμενος, ἐπὶ νᾶν βαλέσθαι τὴν τᾶ ἁγίᾳ τάφᾳ προσκύνησιν, εἴπως ὁ πάντα ἰχύων ἐν Χριςῷ Κλήμης, παράκλησις αὐτῷ γένοιτο. συρόμενος ὧν χερσίτε ᾗ ποσὶ, τῷ τᾶ ὁσίᾳ προσελθεῖν μνήματι, εἶτα ἐν ἐκςάσει γενέσθαι, καίτινα γηραιὸν ἰδεῖν τῶν τριχῶν αὐτᾶ ἁψάμενον ᾗ ἀναςῆναι διακελεύοντα, καὶ ἅμα τῷ λόγῳ, κρότον τῷ σώματι ἐπιγίνεσθαι, οἷον συγκρουομένων ὀςῶν, ἐώκεσαν δὲ ἄρα συναρθροῦσθαι τὰ μέλη καὶ ἁπλοῦσθαι τὰ νεῦρα πρὸς κίνησιν. εἶτα ἐξ ἑαυτῷ γενόμενος, ὑγιὴς εἶναι, ἀκ ἔτι χεῖρας ξηρὸς, ἀκ. ἔτι πόδας ξηρὸς, ἀκ ἔτι πήρωμα φύσεως, καὶ νῦν αἴρω χεῖρας πρὸς τὸν ταύτας ἐκτείναντα ᾗ ἐπὶ τὰς πόδας μεῖσαμαι. ταῦτα εἶπεν ὁ πρώην ἐξηραμμένος, πηγάζων ἐκ βαθέων καρδίας ἐξομολογήσεως ῥήματα, ᾗ συμφωνοῦντας εἶχε τὰς παρεσῶτας ᾗ λόγοις εὐχαριςηρίοις τὸν ὅσιον μεγαλύνοντας. ᾗ τί με δεῖ τάδε ᾗ τάδε καταριθμεῖσθαι; τίς ἀγνοεῖ πόσοις μὲν δαιμονῶσι, πόσοις δὲ ἄλλως κακωμένοις ἀπαλλαγὴν τῶν ἐνοχλούντων κακῶν δεδώρηται, ἢ τῷ τάφῳ προσελθοῦσιν, ἢ ἐπικαλεσαμένοις τὸ ὄνομα μόνον, καὶ τὴν πίςιν ἔχουσι μεθ' ἑαυτῶν, τὴν δραςήριον ὄντως διάκονον; διὰ τᾶτο ᾗ πᾶσα Βουλγάρων ἡλικία τῆς τᾶ ἁγίᾳ χάριτος ἀπολαύοντες, ἀκ ἔςιν εἰπεῖν ὅσην τὴν ἐπὶ τῇ τιμῇ σπουδὴν ἐπιδείκνυνται, ἕκαςος τὸ κατὰ δύναμιν συνάγοντες.

Ἀλλ' ὦ θεία ᾗ ἱερὰ κεφαλὴ, ἐφ' ᾗ τὸ Πνεῦμα τὴν καθέδραν ἐπήξατο. ὦ φωςὴρ ἀφ' ἡμέρας μόνης ἄρχων, ἀδὲ μόνης νυκτὸς, ἀλλὰ ᾗ νυκτὸς ᾗ ἡμέρας καταφωτίζων ἡμᾶς ταῖς χάρισιν. εἴτε πειρασμοῖς προσπαλαίοντες οἱόντινα νύκτα τὸν

τὸν τῶν πειρασμῶν ζόφον ἔχομεν, εἴτε ἀνέσεως ἀπολαύοντες, ὥς πέρ τινι φωτὶ φαιδρυνόμεθα. ἐν ἀμφοτέροις γὰρ τοῖς καιροῖς τῶν σῶν χαρίτων καταξιώμεθα. ὦ σάλπιγξ δι' ἧς ἡμῖν ἐσάλπισεν ὁ Παράκλητος. ὦ ποιμὴν ὁ καλὸς ὁ θεὶς ὑπὲρ ἡμῶν τῶν σῶν προβάτων τὴν ἁγίαν ψυχὴν, ᾗ διὰ πολλῶν ἱδρώτων καταρτίσας Θεῷ τὸ ποίμνιον, εἰς τόπον χλόης κατασκηνώσας ἡμᾶς, τὰς διὰ τῆς σῆς γλώττης ἑρμηνευθείσας γραφὰς, ᾗ ἐφ' ὕδατος ἀναπαύσεως ἐκθρέψας τᾷ θείᾳ βαπτίσματος, ᾗ ἐπὶ τρίβας ὁδηγήσας δικαιοσύνης, τὴν ἐργασίαν τῆς ἀρετῆς. διὰ σᾶ γὰρ πᾶσα τῆς Βουλγαρίας χώρα Θεὸν ἐπέγνωσαν, τὰς ἐκκλησίας αὐτὸς τοῖς ὕμνοις καὶ ταῖς ψαλμῳδίαις ἐπύκνωσας, τὰς ἑορτὰς τοῖς ἀναγνώσμασι κατεφαίδρυνας, μοναὶ διὰ σᾶ βίοις πατέρων ὁδηγοῦνται πρὸς ἄσκησιν, ἱερεῖς διὰ σᾶ τὸ κανονικῶς ζῆν παιδεύονται. ὦ ἐπίγειε ἄγγελε καὶ οὐράνιε ἄνθρωπε. ὦ ἐλαία τῆς τῷ προφήτῃ προοριθείσης μὴ λειπομένη μηδὲ μικρὸν, ὅτι καὶ μᾶλλον ὡς πλείονας υἱοὺς πιότητος προενέγκασα. ὦ τυφλῶν ὁδηγέ. ὁποτέραν τις λογίσαιτο τυφλότητάτε καὶ ὁδηγίαν. ὦ κυρίῳ κατασκευάσας λαὸν περιούσιον, ζηλωτὴν καλῶν ἔργων, ὧν ἐνοσοὶ ἔβλεπον. ἀλλ' ἔτι καὶ ἔτι ἐποπτεύοις τὴν σὴν κληρονομίαν. πάντως πλείω καὶ μείζω νῦν ἰχύεις, ἢ πάλαι ὢν ἐν τῷ σώματι, ᾗ τὴν πονηρὰν ἀπελαύνοις αἵρεσιν, ἢ τῷ σῷ ποιμνίῳ νόσος λοιμώδης παρεισεφθάρη, μετὰ τὴν σὴν πάντως ἐν Χριςῷ κοίμησιν, μὴ διασπείρῃ καὶ διαφθείρῃ τὰ τῆς νομῆς πρόβατα, ἣν σήσαις ἅγιε ποιμὴν ᾗ χρησότατε. τριοίης δὲ καὶ βαρβαρικῶν ἐπιδρομῶν ἀπειράτες τὰς σὰς τροφίμους ἡμᾶς, ᾗ πάντοτε μὲν ἐφορῶν, μάλιςα δὲ ιῦν, ὅτε θλῖψις ἐγγὺς, ὅτε ἀκ ἔςιν ὁ βοηθῶν, ὅτε σκυθικὴ μάχαιρα Βουλγαρικῶν αἱμάτων ἐμέθυσεν, ὅτε

χεῖ-

χεῖρες ἀθέων τὰ θνησιμαῖα τῶν νέων τέκνων τοῖς πετεινοῖς τοῦ οὐρανοῦ ἐξέθεντο βρώματα, ἃς θραύσαις τῇ δεξιᾷ χειρὶ τοῦ ὑπὸ σοῦ θεραπευθέντος Θεοῦ, εἰρήνην τῷ σῷ λαῷ χαριζόμενος, ἵνα σοὶ καὶ τὰς ἑορτὰς ἴσωμεν ἐν πάσῃ ἀγαλλιάσει, Πατέρα καὶ Υἱὸν καὶ Πνεῦμα διὰ σοῦ δοξάζοντες τὸν ἕνα Θεὸν, ᾧ πρέπει πᾶσα δόξα τιμὴ καὶ προσκύνησις, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων ἀμήν.

ΕΘΝΙΚΟΝ ΚΑΙ ΠΑΝΕΠΙΣΤΗΜΙΟΝ ΑΘΗΝΩΝ ΒΙΒΛΙΟΘΗΚΗ